EVCLIDIS
ELEMENTORVM
Liber primus.

Item,

HERONIS ALEXANDRINI
vocabula quædam geometrica: ante hac nunquam edita, græcè & latinè.

Per M. Cunradum Dasypodium.

Cum gratia & priuilegio Cæsareo, atque Regis Galliæ, ad sexennium.

ARGENTINAE,
1571.

Ad Reuerendiſs: & Illuſtriſs: Principem, Dominum, D. Danielem Archiepiſcopum Moguntinenſem, Sacri Romani Imperij, per Germaniam Archicancellarium, atq; Electorem, &c. Cunradi Daſypodij Præfatio.

GEOMETRIAM IN *ſummo apud Græcos fuiſſe honore, Reuerendiſs: Præſul: non tantum hiſtoriæ teſtantur: ſed & ipſorum confirmant multiplicia atq; varia volumina: quæ partim extant, partim in priuatis & publicis reſeruantur bibliothecis. Itaq; ferè nullus tum temporis erat Philoſophus, qui ſe non in hoc erudito geometrarum puluere exercuiſſet: neque ad philoſophiæ admittebantur penetralia:*

nisi periti geometriæ essent. atque nihil fuit Mathematicis illustrius: nihil excellentius: nihil quod ad Regum & Principum splendorem & dignitatem accederet propius. Verùm (quod sanè dolendum) hoc nostro sæculo excellentissima hæc studia: prostrata & abiecta iacent: neq; vlla ferè spes est relicta: fore vt hæc integritati suæ: & honori pristino restituatur: nisi Reges atq; Principes sua liberalitate & beneficentia, excitent homines literatos: literati verò, & qui in scholis versantur, ipsi quoquemet sint γεώμετραι, non autem ἀγεωμέτρητοι: deniq; certo modo rationeq; bona, studiosis geometrica & his similia proponant. quod quidem in omnibus Academijs fieri deberet: & in aliquibus insignioribus fit: in cæteris eadem fieri opto. in me quod est: pro virili in id incumbo:

cumbo: vt in nostris scholis Pythagoricos pueros, hoc est, in mathematicorũ o. .ine constitutos habeamus.

Ideóq; de sententia Ioann. Sturmij, Rectoris, non tantum tria volumina mathematica conscribo: sed & hunc primum Elemẽtorum Euclidis librum in lucem nunc edo: cùm propter ea quæ ante sunt dicta: tum etiam quòd hic potißimùm liber: in omnibus fere Gymnasijs prælegatur: in nostris verò scholis: ijs qui in prima sunt curia, proponatur. Sic enim comparatus & factus est, hic primus Euclidis liber: vt doctrinam contineat principiorum geometriæ, & figurarum planarum simplicißimarũ: trianguli inquam & parallelogrammi: quibus perceptis, animus adolescentum iam præparatus videtur, ad assequenda maiora: cùm in his disciplinis, tum &

alijs artibus atque ſcientijs.

Atque ne mea deeſſem opera omnibus ijs, quibus hæc ſtudia curæ ſunt: & è tenebris antiquos meliorísque notæ, (quorum non paucos habeo) authores græcos in lucem eruerem: Heronis Alexandrini quædam, eiusdem argumenti: ex eius onomaſtico geometrico, huic libro adiunxi: vt quæ Græcorum fuerint Gymnaſia: & qualia puerorum exercitia ex ijs appareret. deinde vt copia rerum geometricarum propoſita: noſtri adoleſcentes in campum illum amplißimum mathematicarum ſcientiarũ exirent: imò in puluerem deſcenderent geometricum: in quo cùm viderint tot tamq; varias figuras, earúmque definitiones, diuiſiones, differentias, accidentia, proprietatesq; alias: quanti momenti ſit hæc cognouiſſe, quantiq; adiumenti in ti in alijs comparandis & percipiendis scientijs: sciant atque intelligant.

Ita enim natura comparatum est: vt plurimum copia, varietateq́ rerum afficiamur: animusq́ noster se in eorum pascat contemplatione, quæ etsi vulgaria atq́ quotidiana videantur: tamen si in ordinem redigantur: si præcepta de ijs fiant bona ratione, modoq́ bono, & concinno: dum ea legimus, dum singula accuratius perpendimus: mirificè recreamus vires ingenij nostri: imò cupiditate & amore cognoscendi, incensi: ad inuestigationem & perscrutationem reconditarum abstrusissimarumq́ rerum rapimur.

Statuamus enim puerum quendam è scholis Grammaticorum egressum: linguarum, & orationis puræ cognitione instructum: Dialecticorum etiam

& Rhetorum præceptis quodammodo imbutum: accedere ad Geometricorum elementorum auſcultationem: is ſi audiat primum & ſimpliciſsimum principium Geometriæ eſſe punctum: rem tenuiſsimam, minimam, talemq́, quæ in partes diuidi nequeat: ex quo tamen puncto omnes lineæ: vniuerſæ ſuperficies: atq; infinita corpora oriuntur: quærit ſtatim cognito puncto, quid ſit linea, quid ſuperficies: quid corpus. neq; contentus eſt ſe lineam coguouiſſe: ſed cùm plures linearum eſſe ſpecies videt: ſingulas cupit addiſcere: à lineis poſtea ad ſuperficies, & quæ in ſuperficiebus deſcribuntur, figuras progreditur. in qua doctrina maximam rerum geometricarum inueniet varietatem: dum intelligit quaſdam ſuperficies planas eſſe: quaſdam minimè planas: in planis ſuperfiperficiebus delineari omnis generis figuras, easq́ numero quodammodo infinitas: affectiones etiam earundem varias atq multiplices cognoscit: deniq in corporum solidorum contemplationem incidit: diffusam per vniuersam rerum naturam.

Quæ & quanta igitur puer ille ex vnici puncti, lineæ etiam, atq superficiei, & corporis perceptione cognoscit? quantam rerum copiam & varietatem sibi principiorum cognitione comparat? quæ tandem his instructus rebus, recondita in his scientijs, non perscrutabitur? Magnum certè, magnum lumen præbet Geometriæ cognitio, rebus & cognoscendis, & dijudicandis; atq tam clara & perspicua omnia reddit: vt Sole splendidiora & apertiora fiant. quæ si locus esset dicendi & orandi, pluribus persequerer. Hoc tantum ostendere volui, nostram mẽtem studio atq; cupiditate sciendi incensam: si minimum quoddam cognitionis principium nacta sit: non cessare, neq; quiescere: sed perpetuò inuentis, alia atq; alia subinde addere. itaq; in scholis, in id potißimum incumbendum est: vt pueri hæc & similia Mathematicorum præcepta discant, teneant, & ad inuestigationem rerum secum adferant: siue in explicatione rerum diuinarum versari: siue officia Reipub. tractare: siue res naturales explicare, et ad vitæ vsum accomodare velint.

Hæc itaq; Reuerẽdiß. Præsul, mei instituti fuit ratio: vt & hunc librum primum Euclidis, & Heronis quædam geometrica primo atq; secundo meo volumini mathematico adiunxerim. quia ad veram & solidam eruditionem as-

sequenſequẽdam, hæc ſtudia inprimis ſunt neceſſaria: quod illorum teſtimonio auſim dicere: qui cùm ſint ignari mathematicarum rerum: ſi quando incidunt in probatiſsimi alicuius authoris ſcripta: quid ipſis deſit, ſero tandem ſentiũt atq; animaduertunt.

Adhortor itaq; ſubindè omnes adoleſcenteis, quibus ad ſolidam peruenire eruditionem animus eſt: vt in his ſe exerceat ſtudijs: ijs annis quib. hæc conueniunt ſtudia: quibus etiã abſq; tædio, vllaq́; moleſtia addiſcere ſingula poſsĩt. Et quòd tot tantiq́; viri olim in Græcia fuerint, in omni ſtudiorum genere præſtantiſsimi: hoc ipſum multũ adiumenti illis dedit, quòd παῖδας μαθηματικοὺς habebant: & in his diſciplinis eos erudiebant: priuſquam ad ſtudia eos deducerẽt altiora. Vnde etiam videmus antiquos *autores, plerunq; Mathematicorum vti exemplis: tanquam vulgatiſs. tanquam ijs, quæ à pueris iam eſſent cognita & percepta: quæ ſi nos legimus: plus interdum in intelligendo exemplo mathematico laboramus: quo res propoſita illuſtratur: quàm in rei ipſius cognitione aſſequenda: quod quidem neutiquam nobis contingeret: ſi noſtri παῖδες, eſſent μαθηματικοί: neq; tot obſtacula, tot difficultates in autorum antiquorum lectione nobis occurrerent, ſi animi noſtri his imbuti eſſent diſciplinis. Nuper itaq; in noſtris ſcholis bene inſtituere ſtudia mathematica incepimus: quæ res cùm tam recenter ſit inchoata: fructum & vtilitatem eius, nondum perſpicere poſſumus. ſed aliquot annis peractis: ſentient omnes homines, quantum bona iuuet inſtitutio: quidue ſit ra-*

tione

tione bona modoq; facili pueros erudire.

Tibi verò Reuerendiss. Præsul, hanc meam exiguam opellam commendare volui: quòd Amplitudinem tuam intelligam, non his tantum studijs, sed omnibus literis, literatisq; hominibus, amplissimum præbere patrocinium, neque ob hoc tantùm: verum etiam quòd natura tua talis sit, vt prudentiam singularem: grauitatem insignem: & in rebus arduis cùm suscipiendis dexteritatem: tum perficiendis constantiam tuam omnes mirentur: in controuersijs etiam difficilioribus dirimendis acumen, & æquitatem laudent. Itaq; cùm animus A. T. ingenio & virtutibus excellat: res externas despiciat: in magnis atq; vtilibus, vehementerq; arduis gerendis, se exerceat: patronum etiam horum meorum studiorum A. T. esse

opta-

optabam: cuius eam esse voluntatem in defendendis & tuendis studijs prom-ptam & paratam video: quæ Principũ virorũ semper fuit: eam etiam dignitatem, & amplitudinem: quæ olim in Regibus apparebat. qui cum omni studio, omnibus viribus, maximis sumptibus, incredibili liberalitate, mathematica iuuarent, atq; promouerent studia: tanta, quanta ea legimus fuisse, effecerunt: & ad summum vsque fastigium euexerunt. Quod si hoc nostro seculo plures A. T. similes existerent Principes: non dubito, quin & nos tandem ad fastigium harum scientiarum perueniremus. Etsi verò hic libellus sit exiguus, & A. T. minimè videatur dignus: cùm in eo res prima fronte appareant spinosæ & steriles: magni tamen sunt momenti, & Principibus viris dignissimæ:

simæ: principia inquam excellētissimorum scientiarum Mathematicarū, quas res sanè Reges olim tractarūt: quas singulariter coluerunt: in quibus qui ad sacra & mysteria tractanda admitti volebant, plurimùm se exercuerunt. Sint ergo Reuerendiss. Præsul, hæc mea studia T. A. commendata: quæ si clementiam A. T. senserint: maiora his, iuuante Deo, proferam.

Calendis Maij.

Anno

M. D. LXX.

ΕΥΚΛΕΙΔΟΥ

ΣΤΟΙΧΕΙΟΝ ΠΡΩΤΟΝ, ΕΚ τῶν τοῦ Θέωνος συνουσιῶν.

ΟΡΟΙ.

ΣΗΜΕΙΟΝ ἐστὶν, οὗ μέρος οὐθέν.

Γραμμὴ δὲ, μῆκος ἀπλατές.

Γραμμῆς δὲ πέρατα σημεῖα.

Εὐθεῖα γραμμή ἐστιν· ἥτις ἐξ ἴσου τοῖς ἐφ' ἑαυτῆς σημείοις κεῖται.

Ἐπιφάνεια δέ ἐστιν· ὃ μῆκος καὶ πλάτος μόνον ἔχει.

Ἐπιφανείας δὲ πέρατα, γραμμαί.

Ἐπίπεδος ἐπιφάνειά ἐστιν· ἥτις ἐξ ἴσου ταῖς ἐφ' ἑαυτῆς εὐθείαις κεῖται.



Ἐπίπεδος δὲ γωνία ἐστὶν· ἡ ἐν ἐπιπέδῳ δύο γραμμῶν ἁπτομένων ἀλλήλων· καὶ μὴ ἐπ' εὐθείας κειμένων· πρὸς ἀλλήλας τῶν γραμμῶν κλίσις.

Οταν δὲ αἱ περιέχουσαι τὴν γωνίαν γραμμαὶ, εὐθεῖαι ὦσιν: εὐθύγραμμος καλεῖται ἡ γωνία.

Οταν δὲ εὐθεῖα ἐπ' εὐθεῖαν σταθεῖσα: τὰς ἐφεξῆς γωνίας ἴσας ἀλλήλαις ποιῇ: ὀρθή ἐστιν ἑκατέρα τῶν ἴσων γωνιῶν. Καὶ ἡ ἐφεστηκυῖα εὐθεῖα κάθετος καλεῖται, ἐφ' ἣν ἐφέστηκεν.

Αμβλεῖα γωνία ἐστὶν, ἡ μείζων ὀρθῆς.

Οξεῖα δὲ ἡ ἐλάσσων ὀρθῆς.

Ορος ἐστὶν, ὅ τινός ἐστι πέρας.

Σχῆμα, ἐστὶ, τὸ ὑπό τινος, ἤ τινων ὅρων περιεχόμενον.



Κύκλος ἐστὶ, σχῆμα ἐπίπεδον: ὑπὸ μιᾶς γραμμῆς περιεχόμενον (ἣ καλεῖται περιφέρεια) πρὸς ἣν ἀφ' ἑνὸς σημείου, τῶν ἐντὸς τοῦ σχήματος κειμένων: πᾶσαι αἱ προσπίπτουσαι εὐθεῖαι: ἴσαι ἀλλήλαις εἰσί.

Κέντρον δὲ τοῦ κύκλου τὸ σημεῖον καλεῖται.

Διάμετρος δὲ τοῦ κύκλου ἐστὶν, εὐθεῖα τις διὰ τοῦ κέντρου ἠγμένη: καὶ περατουμένη

μένη

μένη ἐφ' ἑκάτερα τὰ μέρη, ὑπὸ τῆς τοῦ κύκλου περιφερείας: ἥτις καὶ δίχα τέμνει τὸν κύκλον.



Ἡμικύκλιον δέ ἐστι, τὸ περιεχόμενον σχῆμα, ὑπό τε τῆς διαμέτρου καὶ τῆς ἀπολαμβανομένης ὑπ' αὐτῆς τῆς τοῦ κύκλου περιφερείας.



Τμῆμα κύκλου ἐστὶ, τὸ περιεχόμενον ὑπό τε εὐθείας, καὶ κύκλου περιφερείας.

Εὐθύγραμμα σχήματά ἐστι, τὰ ὑπὸ εὐθειῶν περιεχόμενα.

Τρίπλευρα μὲν τὰ ὑπὸ τριῶν.

Τετράπλευρα δὲ τὰ ὑπὸ τεσσάρων.

Πολύπλευρα δὲ, τὰ ὑπὸ πλειόνων, ἢ τεσσάρων εὐθειῶν περιεχόμενα.



Τῶν δὲ τριπλεύρων σχημάτων, Ἰσόπλευρον μὲν τρίγωνόν ἐστι, τὸ τρεῖς ἴσας ἔχον πλευράς.



Ἰσοσκελὲς δὲ, τὸ τὰς δύο μόνας ἴσας ἔχον πλευράς.

Σκαληνὸν δὲ, τὸ τὰς τρεῖς ἀνίσους ἔχον πλευράς.

Ἔτι δὲ τῶν τριπλεύρων σχημάτων. Ὀρθογώνιον μὲν τρίγωνόν ἐστι, τὸ ἔχον μίαν ὀρθὴν γωνίαν.



Ἀμβλυγώνιον δὲ, τὸ μίαν ἔχον ἀμβλεῖαν γωνίαν.

Ὀξυγώνιον δὲ, τὸ τρεῖς ὀξείας ἔχον γωνίας.

Τῶν δὲ τετραπλεύρων σχημά μάτων, τετράγωνον μέν ἐστιν, ὃ ἰσόπλευρόν τε ἐστι, καὶ ὀρθογώνιον.

Ἑτερόμηκες δὲ, ὃ ὀρθογώνιον μὲν, οὐκ ἰσόπλευρον δέ.

Ῥόμβος δὲ, ὃ ἰσόπλευρον μὲν, οὐκ ὀρθογώνιον δέ.

Ῥομβοειδὲς δὲ, τὸ τὰς ἀπεναντίον πλευράς τε καὶ γωνίας, ἴσας ἀλλήλαις ἔχον, ὃ οὔτε ὀρθογώνιον, οὔτε ἰσόπλευρον.

Τὰ δὲ παρὰ ταῦτα τετράπλευρα, Τραπέζια καλείσθω.

Παράλ-

Παράλληλοι εἰσὶν εὐθεῖαι, αἵτινες ἐν τῷ αὐτῷ ἐπιπέδῳ οὖσαι: καὶ ἐκβαλλόμεναι ἐπ' ἄπειρον ἐφ' ἑκάτερα τὰ μέρη: ἐπὶ μηδέτερα συμπίπτουσιν ἀλλήλαις.



ΑΙΤΗΜΑΤΑ.

Ἠιτήσθω, ἀπὸ παντὸς σημείου: ἐπὶ πᾶν σημεῖον εὐθεῖαν γραμμὴν ἀγαγεῖν.

Καὶ πεπερασμένην εὐθεῖαν: κατὰ τὸ συνεχὲς ἐπ' εὐθείας ἐκβάλλειν.

Καὶ παντὶ κέντρῳ, καὶ διαστήματι: κύκλον γράφεσθαι.

ΚΟΙΝΑΙ ΕΝΝΟΙΑΙ.

Τὰ τῷ αὐτῷ ἴσα, καὶ ἀλλήλοις ἐστὶν ἴσα.

Καὶ ἐὰν ἴσοις ἴσα προστεθῇ: τὰ ὅλα ἐστὶν ἴσα.

Καὶ ἐὰν ἀπὸ ἴσων ἴσα ἀφαιρεθῇ: τὰ καταλειπόμενά ἐστιν ἴσα.

Καὶ ἐὰν ἀνίσοις ἴσα προστεθῇ: τὰ ὅλα ἐστὶν ἄνισα.

Καὶ ἐὰν ἀπὸ ἀνίσων ἴσα ἀφαιρεθῇ: τὰ λοιπὰ ἐστιν ἄνισα.

Καὶ τὰ τοῦ αὐτοῦ διπλάσια: ἴσα ἀλλήλοις ἐστί.

Καὶ τὰ τοῦ αὐτοῦ ἡμίση: ἴσα ἀλλήλοις ἐστί.

Καὶ τὰ ἐφαρμόζοντα ἐπ' ἄλληλα: ἴσα ἀλλήλοις ἐστί.

Καὶ τὸ ὅλον, τοῦ μέρους μεῖζόν ἐστι.

Καὶ πᾶσαι αἱ ὀρθαὶ γωνίαι: ἴσαι ἀλλήλαις εἰσί.

Καὶ ἐὰν εἰς δύο εὐθείας, εὐθεῖα ἐμπίπτουσα, τὰς ἐντὸς, καὶ ἐπὶ τὰ αὐτὰ μέρη γωνίας, δύο ὀρθῶν ἐλάσσονας ποιῇ: ἐκβαλλόμεναι αἱ δύο αὗται εὐθεῖαι ἐπ' ἄπειρον, συμπεσοῦνται ἀλλήλαις, ἐφ' ἃ μέρη εἰσὶν αἱ τῶν δύο ὀρθῶν ἐλάσσονες γωνίαι.

Καὶ δύο εὐθεῖαι: χωρίον οὐ περιέχουσιν.

Πρότασις α. πρόβλημα.

ΕΠΙ ΤΗΣ δοθείσης εὐθείας πεπερασμένης: τρίγωνον ἰσόπλευρον συστήσασθαι.

Ἔκθεσις.) Ἔστω ἡ δοθεῖσα πεπερασμένη, ἡ αβ. (Διορισμός.) Δεῖ δὴ ἐπὶ τῆς αβ εὐθείας: τρίγωνον ἰσόπλευρον συστήσασθαι. (Κατασκευή.) Κέντρῳ μὲν τῷ α, διαστήματι δὲ, τῷ αβ: κύκλος γεγράφθω, ὁ βγε. καὶ πάλιν κέντρῳ μὲν τῷ β, διαστήματι δὲ τῷ βα: κύκλος γεγράφθω, ὁ αγδ. καὶ ἀπὸ τοῦ γ σημείου,

καθ'



καθ' ὃ τέμνουσιν ἀλλήλους οἱ κύκλοι, ἐπὶ τὰ α, β, σημεῖα! ἐπεζεύχθωσαν εὐθεῖαι, αἱ γα, γβ. (Ἀπόδειξις.) Ἐπεὶ οὖν τὸ α σημεῖον, κέντρον ἐστὶ τοῦ γεβ κύκλου: ἴση ἐστὶν ἡ αγ τῇ αβ. πάλιν ἐπεὶ τὸ β σημεῖον, κέντρον ἐστὶ, τοῦ γαδ κύκλου: ἴση ἐστὶν ἡ βγ, τῇ βα. ἐδείχθη δὲ καὶ ἡ γα, τῇ αβ ἴση. ἑκατέρα ἄρα τῶν γα, γβ: τῇ αβ ἐστὶν ἴση. τὰ δὲ τῷ αὐτῷ ἴσα: καὶ ἀλλήλοις ἐστὶν ἴσα, καὶ ἡ γα ἄρα τῇ γβ ἐστὶν ἴση. αἱ τρεῖς ἄρα αἱ γα, αβ, βγ: ἴσαι ἀλλήλαις εἰσίν. Συμπέρασμα.) Ἰσόπλευρον ἄρα ἐστί τὸ αβγ τρίγωνον: καὶ συνέσταται ἐπὶ τῆς δοθείσης εὐθείας πεπερασμένης τῆς αβ. ὅπερ ἔδει ποιῆσαι.

Πρότασις β. πρόβλημα.

ΠΡὸς τῷ δοθέντι σημείῳ: τῇ δοθείσῃ εὐθείᾳ: ἴσην εὐθεῖαν θέσθαι.

Ἔκθεσις.) Ἔστω τὸ μὲν δοθὲν σημεῖον τὸ α: ἡ δὲ δοθεῖσα εὐθεῖα ἡ βγ. (Διορισμός. Δεῖ δὴ πρὸς τῷ α σημείῳ: τῇ βγ εὐθείᾳ ἴσην εὐθεῖαν γων?

θέσθαι. (Κατασκευή.) Ἐπεζεύχθω γὰρ ἀπὸ τοῦ α σημείου, ἐπὶ τὸ β σημεῖον εὐθεῖα ἡ αβ. καὶ συνεστάτω ἐπ᾽ αὐτῆς, τρίγωνον ἰσόπλευρον, τὸ δαβ καὶ ἐκβεβλήσθωσαν ἐπ᾽ εὐθείας ταῖς δα, δβ· εὐθεῖαι, αἱ αε, βζ· καὶ κέντρῳ μὲν τῷ β, διαστήματι δὲ τῷ βγ· κύκλος γεγράφθω ὁ γηθ. καὶ πάλιν κέντρῳ μὲν τῷ δ, διαστήματι δὲ τῷ δη· κύκλος γεγράφθω ὁ ηκλ. (Ἀπόδειξις.) Ἐπεὶ οὖν τὸ β σημεῖον, κέντρον ἐστὶ τοῦ γηθ κύκλου· ἴση ἐστὶν ἡ βγ, τῇ βη. καὶ πάλιν, ἐπεὶ τὸ δ σημεῖον, κέντρον ἐστὶ τοῦ ηκλ κύκλου· ἴση ἐστὶν ἡ δλ, τῇ δη. ὧν ἡ δα, τῇ δβ ἴση ἐστί. λοιπὴ ἄρα ἡ αλ, λοιπῇ τῇ βη ἐστὶν ἴση. ἐδείχθη δὲ καὶ ἡ βγ, τῇ βη ἴση. ἑκατέρα ἄρα τῶν αλ, βγ· τῇ βη ἐστὶν ἴση. τὰ δὲ τῷ αὐτῷ ἴσα· καὶ ἀλλήλοις ἐστὶν ἴσα. καὶ ἡ αλ ἄρα, τῇ βγ, ἐστὶν ἴση. (Συμπέρασμα.) Πρὸς ἄρα τῷ δοθέντι σημείῳ τῷ α· τῇ δοθείσῃ εὐθείᾳ τῇ βγ· ἴση εὐθεῖα κεῖται ἡ αλ. ὅπερ ἔδει ποιῆσαι.



Πρότα-

Πρότασις γ'. πρόβλημα.

ΔΥΟ δοθεισῶν εὐθειῶν ἀνίσων· ἀπὸ τῆς μείζονος, τῇ ἐλάσσονι ἴσην εὐθεῖαν ἀφελεῖν.



Ἔκθεσις.) Ἔστωσαν αἱ δοθεῖσαι δύο εὐθεῖαι ἄνισοι αἱ αβ, γ, ὧν μείζων ἔστω ἡ αβ. (Διορισμός.) Δεῖ δὴ ἀπὸ τῆς μείζονος τῆς αβ, τῇ ἐλάσσονι τῇ γ· ἴσην εὐθεῖαν ἀφελεῖν. (Κατασκευή.) Κείσθω πρὸς τῷ α σημείῳ, τῇ γ εὐθείᾳ ἴση ἡ αδ, καὶ κέντρῳ μὲν τῷ α, διαστήματι δὲ τῷ αδ· κύκλος γεγράφθω ὁ δεζ. (Ἀπόδειξις.) Καὶ ἐπεὶ τὸ α σημεῖον, κέντρον ἐστὶ τοῦ δεζ κύκλου· ἴση ἐστὶν ἡ αε, τῇ αδ. ἀλλὰ καὶ ἡ γ, τῇ αδ ἐστὶν ἴση. ἑκατέρα ἄρα τῶν αε, γ· τῇ αδ ἐστὶν ἴση. ὥστε καὶ ἡ αε, τῇ γ ἐστὶν ἴση. Συμπέρασμα.) Δύο ἄρα δοθεισῶν εὐθειῶν ἀνίσων τῶν αβ, γ· ἀπὸ τῆς μείζονος τῆς αβ, τῇ ἐλάσσονι τῇ γ· ἴση ἀφῄρηται ἡ αε. ὅπερ ἔδει ποιῆσαι.

Πρότασις δ'. θεώρημα.

ΕΑΝ δύο τρίγωνα, τὰς δύο πλευρὰς ταῖς

δυσὶ πλευραῖς ἴσας ἔχῃ ἑκάτεραν ἑκατέρᾳ: καὶ τὴν γωνίαν τῇ γωνίᾳ ἴσην ἔχῃ: τὴν ὑπὸ τῶν ἴσων εὐθειῶν περιεχομένην: καὶ τὴν βάσιν τῇ βάσει ἴσην ἕξει: καὶ τὸ τρίγωνον τῷ τριγώνῳ ἴσον ἔσται: καὶ αἱ λοιπαὶ γωνίαι ταῖς λοιπαῖς γωνίαις ἴσαι ἔσονται, ἑκάτερα ἑκατέρᾳ, ὑφ' ἃς αἱ ἴσαι πλευραὶ ὑποτείνουσιν.

Ἔκθεσις.) Ἔστω δύο τρίγωνα, τὰ αβγ, δεζ, τὰς δύο πλευρὰς τὰς αβ, αγ, ταῖς δυσὶ πλευραῖς ταῖς δε, δζ, ἴσας ἔχοντα ἑκάτεραν ἑκατέρᾳ· τὴν μὲν αβ, τῇ δε: τὴν δὲ αγ, τῇ δζ: καὶ γωνίαν τὴν ὑπὸ βαγ, γωνίᾳ τῇ ὑπὸ εδζ ἴσην.



(Διορισμός.) Λέγω ὅτι, καὶ βάσις ἡ βγ, βάσει τῇ εζ ἴση ἐστίν: καὶ τὸ αβγ τρίγωνον, τῷ δεζ, τριγώνῳ ἴσον ἔσται: καὶ αἱ λοιπαὶ γωνίαι, ταῖς λοιπαῖς γωνίαις ἴσαι ἔσονται, ἑκάτερα ἑκατέρᾳ, ὑφ' ἃς αἱ ἴσαι πλευραὶ ὑποτείνουσιν, ἡ μὲν ὑπὸ αβγ, τῇ ὑπὸ δεζ ἡ δὲ ὑπὸ αγβ, τῇ ὑπὸ δζε. (Ἀπόδειξις.) Ἐφαρμοζομένου γὰρ τοῦ αβγ τριγώνου ἐπὶ τὸ δεζ τρίγωνον: καὶ τιθεμένου τοῦ μὲν α σημείου, ἐπὶ τὸ δ σημεῖον· τῆς δὲ αβ εὐθείας, ἐπὶ τὴν δε, ἐφαρμόσει καὶ τὸ β, ἐπὶ τὸ ε. διὰ τὸ ἴσην εἶναι τὴν αβ, τῇ δε. ἐφαρμοσάσης δὲ τῆς αβ, διὰ τὴν δε ἐφαρμόσει καὶ ἡ αγ εὐθεῖα, ἐπὶ τὴν δζ. ἐπὶ τὸ ἴσην εἶναι, τὴν ὑπὸ βαγ γωνίαν τῇ ὑπὸ εδζ. ὥστε καὶ τὸ γ σημεῖον, ἐπὶ τὸ ζ σημεῖον ἐφαρμόσει. διὰ τὸ ἴσην πάλιν εἶναι τὴν αγ τῇ δζ. ἀλλὰ μὴν καὶ τὸ β, ἐπὶ τὸ ε ἐφηρμόκει. ὥστε βάσις ἡ βγ, ἐπὶ βάσιν τὴν εζ ἐφαρμόσει. εἰ γὰρ τοῦ, μὲν β ἐπὶ τὸ ε ἐφαρμόσαντος, τοῦ δὲ γ ἐπὶ τὸ ζ· ἡ βγ βάσις ἐπὶ τὴν εζ οὐκ ἐφαρμόσει δύο εὐθεῖαι χωρίον περιέξουσιν. ὅπερ ἀδύνατον. Ἐφαρμόσει ἄρα ἡ βγ βάσις, ἐπὶ τὴν εζ βάσιν. ἴση αὐτῇ ἔσται· ὥστε καὶ ὅλον τὸ αβγ τρίγωνον, ἐπὶ ὅλον τὸ δεζ τρίγωνον ἐφαρμόσει· καὶ ἴσον αὐτῷ ἔσται. καὶ αἱ λοιπαὶ γωνίαι, ἐπὶ τὰς λοιπὰς γωνίας ἐφαρμόσουσι. καὶ ἴσαι αὐταῖς ἔσονται. ἡ μὲν ὑπὸ αβγ, τῇ ὑπὸ δεζ, ἡ δὲ ὑπὸ αγβ, τῇ ὑπὸ δζε. Συμπέρασμα.) Ἐὰν ἄρα δύο τρίγωνα, τὰς δύο πλευρὰς, ταῖς δυσὶ πλευραῖς ἴσας ἔχῃ ἑκατέραν ἑκατέρᾳ: καὶ τὴν γωνίαν τῇ γωνίᾳ ἴσην ἔχῃ, τὴν ὑπὸ τῶν ἴσων εὐθειῶν περιεχομένην: καὶ τὴν βάσιν τῇ βάσει ἴσην

ἕξει:

ἕξει· καὶ τὸ τρίγωνον τῷ τριγώνῳ ἴσον ἔσται· καὶ αἱ λοιπαὶ γωνίαι, ταῖς λοιπαῖς γωνίαις ἴσαι ἔσονται· ἑκάτερα ἑκατέρᾳ, ὑφ᾽ ἃς αἱ ἴσαι πλευραὶ ὑποτείνουσιν. ὅπερ ἔδει δεῖξαι.

Πρότασις ε. θεώρημα.

Τῶν ἰσοσκελῶν τριγώνων· αἱ πρὸς τῇ βάσει γωνίαι ἴσαι ἀλλήλαις εἰσί. καὶ προσεκβληθεισῶν τῶν ἴσων εὐθειῶν· αἱ ὑπὸ τὴν βάσιν γωνίαι· ἴσαι ἀλλήλαις ἔσονται.

Ἔκθεσις.) Ἔστω τρίγωνον ἰσοσκελὲς τὸ αβγ, ἴσην ἔχον τὴν αβ πλευρὰν, τῇ αγ πλευρᾷ. καὶ προσεκβεβλήσθωσαν ἐπ᾽ εὐθείας ταῖς αβ, αγ· εὐθεῖαι αἱ βδ, γε. Διορισμός.) Λέγω ὅτι ἡ μὲν ὑπὸ αβγ γωνία, τῇ ὑπὸ αγβ ἴση ἐστίν· ἡ δὲ ὑπὸ γβδ, τῇ ὑπὸ βγε. Κατασκευή.) Εἰλήφθω γὰρ ἐπὶ τῆς βδ· τυχὸν σημεῖον τὸ ζ. καὶ ἀφῃρήσθω ἀπὸ τῆς μείζονος τῆς αε· τῇ ἐλάττονι τῇ αζ, ἴση ἡ αη· καὶ ἐπεζεύχθωσαν αἱ ζγ, ηβ εὐθεῖαι. Ἀπόδειξις.) Ἐπεὶ οὖν ἴση ἐστὶν ἡ μὲν αζ, τῇ αη· ἡ δὲ αβ, τῇ αγ. δύο δὴ αἱ ζα, αγ, δυσὶ ταῖς ηα, αβ, ἴσαι εἰσὶν,



ἑκά-

ἑκάτερα ἑκατέρᾳ. καὶ γωνίαν περιέχουσι κοινὴν
τὴν ὑπὸ ζαη. βάσις ἄρα ἡ ζγ, βάσει τῇ ηβ ἴση
ἐστίν· καὶ τὸ αζγ τρίγωνον, τῷ αηβ τριγώνῳ
ἴσον ἔσται. καὶ αἱ λοιπαὶ γωνίαι, ταῖς λοιπαῖς
γωνίαις ἴσαι ἔσονται ἑκάτερα ἑκατέρα, ὑφ' ἃς
αἱ ἴσαι πλευραὶ ὑποτείνουσιν. ἡ μὲν ὑπὸ
αγζ, τῇ ὑπὸ αβη· ἡ δὲ ὑπὸ αζγ, τῇ ὑπὸ
αηβ. καὶ ἐπεὶ ὅλη ἡ αζ, ὅλῃ τῇ αη ἐστὶν ἴση, ὧν
ἡ αβ τῇ αγ ἐστὶν ἴση. λοιπὴ ἄρα ἡ βζ, λοιπῇ
τῇ γη ἐστὶν ἴση. ἐδείχθη δὲ καὶ ἡ ζγ, τῇ ηβ ἴση·
δύο δὴ αἱ βζ, ζγ. δυσὶ ταῖς γη, ηβ, ἴσαι εἰσὶν,
ἑκάτερα ἑκατέρα· καὶ γωνία ἡ ὑπὸ βζγ, γω-
νίᾳ τῇ ὑπὸ γηβ ἐστὶν ἴση· καὶ βάσις αὐτῶν κοι-
νὴ, ἡ βγ. καὶ τὸ βζγ ἄρα τρίγωνον, τῷ ηβγ τρι-
γώνῳ ἴσον ἔσται· καὶ αἱ λοιπαὶ γωνίαι, ταῖς λοι-
παῖς γωνίαις ἴσαι ἔσονται ἑκάτερα ἑκατέρα,
ὑφ' ἃς αἱ ἴσαι πλευραὶ ὑποτείνουσιν. ἴση ἄρα
ἐστὶν, ἡ μὲν ὑπὸ ζβγ, τῇ ὑπὸ ηγβ· ἡ δὲ ὑ-
πὸ βγζ, τῇ ὑπὸ γβη. ἐπεὶ οὖν ὅλη ἡ ὑπὸ
αβη γωνία, ὅλῃ τῇ ὑπὸ αγζ γωνίᾳ ἐδείχθη
ἴση· ὧν ἡ ὑπὸ γβη, τῇ ὑπὸ βγζ ἴση. λοιπὴ
ἄρα ἡ ὑπὸ αβγ, λοιπῇ τῇ ὑπὸ αγβ ἐστὶν ἴ-
ση. καὶ εἰσὶ πρὸς τῇ βάσει, τοῦ αβγ τριγώνου. ἐ-
δείχθη δὲ καὶ ἡ ὑπὸ ζβγ, τῇ ὑπὸ ηγβ ἴση· καὶ
εἰσὶν

εἰσὶν ὑπὸ τὴν βάσιν. Συμπέρασμα.) Τῶν ἄρα ἰσοσκελῶν τριγώνων, αἱ πρὸς τῇ βάσει γωνίαι ἴσαι ἀλλήλαις εἰσί. καὶ προσεκβληθεισῶν τῶν ἴσων εὐθειῶν: αἱ ὑπὸ τὴν βάσιν γωνίαι ἴσαι ἀλλήλαις ἔσονται. ὅπερ ἔδει δεῖξαι.

Πρότασις ϛ. θεώρημα.

ΕΑν τριγώνου, αἱ δύο γωνίαι ἴσαι ἀλλήλαις ὦσι: καὶ αἱ ὑπὸ τὰς ἴσας γωνίας ὑποτείνουσαι πλευραί: ἴσαι ἀλλήλαις ἔσονται.



Ἔκθεσις.) Ἔστω τρίγωνον, τὸ αβγ: ἴσην ἔχον τὴν ὑπὸ αβγ γωνίαν, τῇ ὑπὸ αγβ γωνίᾳ. Διορισμός.) Λέγω ὅτι καὶ πλευρὰ ἡ αβ: πλευρᾷ τῇ αγ ἐστὶν ἴση. Κατασκευή.) Εἰ γὰρ ἄνισός ἐστιν ἡ αβ, τῇ αγ: ἡ ἑτέρα αὐτῶν, μείζων ἐστίν. ἔστω μείζων ἡ αβ. καὶ ἀφῃρήσθω ἀπὸ τῆς μείζονος τῆς αβ, τῇ ἐλάσσονι τῇ αγ: ἴση ἡ δβ. καὶ ἐπεζεύχθω ἡ δγ. Ἀπόδειξις.) Ἐπεὶ οὖν ἴση ἐστὶν ἡ δβ, τῇ αγ: κοινὴ δὲ ἡ βγ. δύο δὴ αἱ δβ, βγ, δύσι ταῖς αγ, γβ: ἴσαι εἰσὶν, ἑκάτερα ἑκατέρᾳ· καὶ γωνία ἡ ὑπὸ δβγ, γωνίᾳ τῇ ὑπὸ αγβ ἐστὶν ἴση· βάσις ἄρα ἡ δγ, βάσει τῇ αβ ἴση ἐστίν. καὶ τὸ αβγ τρίγωνον, τῷ δγβ τριγώνῳ ἴσον ἔσται. τὸ ἔλασσον τῷ μείζονι, ὅπερ ἄτοπον. οὐκ ἄρα ἄνισός ἐστιν ἡ αβ, τῇ αγ. ἴση ἄρα. Συμπέρασμα.) Ἐὰν ἄρα τριγώνου, αἱ δύο γωνίαι, ἴσαι ἀλλήλαις ὦσι· καὶ αἱ ὑπὸ τὰς ἴσας γωνίας ὑποτείνουσαι πλευραί· ἴσαι ἀλλήλαις ἔσονται. ὅπερ ἔδει δεῖξαι.

Πρότασις ζ. θεώρημα.

Ἐπὶ τῆς αὐτῆς εὐθείας: δύσι ταῖς αὐταῖς εὐθείαις ἄλλαι δύο εὐθεῖαι ἴσαι, ἑκάτερα ἑκατέρᾳ: οὐ συσταθήσονται, πρὸς ἄλλῳ, καὶ ἄλλῳ σημείῳ: ἐπὶ τὰ αὐτὰ μέρη: τὰ αὐτὰ πέρατα ἔχουσαι, ταῖς ἐξ ἀρχῆς εὐθείαις.



Ἔκθεσις.) Εἰ γὰρ δυνατὸν, ἐπὶ τῆς αὐτῆς εὐθείας τῆς αβ: δύσι ταῖς αὐταῖς εὐθείαις ταῖς αγ, γβ: ἄλλαι δύο εὐθεῖαι, αἱ αδ, δβ, ἴσαι ἑκάτερα ἑκατέρᾳ, συνεστάτωσαν, πρὸς ἄλλῳ, καὶ ἄλλῳ σημείῳ

μείῳ, τῷ πρὸς γ, καὶ δ: ἐπὶ τὰ αὐτὰ μέρη, τὰ γ, δ: τὰ αὐτὰ πέρατα ἔχουσαι, τὰ α, β, ταῖς ἐξ ἀρχῆς εὐθείαις: ὥστε ἴσην εἶναι, τὴν μὲν γα: τῇ δα: τὸ αὐτὸ πέρας ἔχουσαν αὐτῇ, τὸ α: τὴν δὲ γβ, τῇ δβ: τὸ αὐτὸ πέρας ἔχουσαν αὐτῇ τὸ β. Κατασκευή.) Ἐπεζεύχθω ἡ γδ. Ἀπόδειξις.) Ἐπεὶ οὖν ἴση ἐστὶν ἡ αγ, τῇ αδ: ἴση ἐστὶ καὶ γωνία ἡ ὑπὸ αγδ, τῇ ὑπὸ αδγ. μείζων ἄρα ἡ ὑπὸ αδγ: τῆς ὑπὸ δγβ. πολλῷ ἄρα ἡ ὑπὸ γδβ: μείζων ἐστὶ τῆς ὑπὸ δγβ. πάλιν ἐπεὶ ἴση ἐστὶν ἡ γβ, τῇ δβ: ἴση ἐστὶ, καὶ γωνία ἡ ὑπὸ γδα: γωνίᾳ τῇ ὑπὸ δγβ. ἐδείχθη δὲ αὐτῆς, καὶ πολλῷ μείζων. ὅπερ ἐστὶν ἀδύνατον. Συμπέρασμα.) Οὐκ ἄρα ἐπὶ τῆς αὐτῆς εὐθείας: δύσι ταῖς αὐταῖς εὐθείαις, ἄλλαι δύο εὐθεῖαι, ἴσαι ἑκατέρα ἑκατέρᾳ: συσταθήσονται, πρὸς ἄλλῳ, καὶ ἄλλῳ σημείῳ: ἐπὶ τὰ αὐτὰ μέρη: τὰ αὐτὰ πέρατα ἔχουσαι, ταῖς ἐξ ἀρχῆς εὐθείαις. ὅπερ ἔδει δεῖξαι.

Πρότασις η. θεώρημα.

Ἐὰν δύο τρίγωνα, τὰς δύο πλευρὰς ταῖς δυσὶ πλευραῖς ἴσας ἔχῃ, ἑκατέραν ἑκατέρᾳ: ἔχῃ δὲ καὶ τὴν βάσιν, τῇ βάσει ἴσην: καὶ

τὴν

τὴν γωνίαν τῇ γωνίᾳ ἴσην ἕξει, τὴν ὑπὸ τῶν ἴσων εὐθειῶν περιεχομένην.



Ἔκθεσις.) Ἔστω δύο τρίγωνα, τὰ αβγ, δεζ: τὰς δύο πλευρὰς τὰς αβ, αγ, ταῖς δυσὶ πλευραῖς ταῖς δε, δζ, ἴσας ἔχοντα ἑκατέραν ἑκατέρᾳ: τὴν μὲν αβ, τῇ δε: τὴν δὲ αγ, τῇ δζ: ἐχέτω δὲ καὶ βάσιν τὴν βγ, βάσει τῇ εζ ἴσην. Διορισμός.) Λέγω ὅτι, καὶ γωνία ἡ ὑπὸ βαγ, γωνίᾳ τῇ ὑπὸ εδζ ἐστὶν ἴση. Κατασκευή.) Ἐφαρμοζομένου γὰρ τοῦ αβγ τριγώνου, ἐπὶ τὸ δεζ τρίγωνον: καὶ τιθεμένου τοῦ μὲν β σημείου, ἐπὶ τὸ ε σημεῖον: τῆς δὲ βγ εὐθείας, ἐπὶ τὴν εζ: ἐφαρμόσει, καὶ τὸ γ σημεῖον, ἐπὶ τὸ ζ: διὰ τὸ ἴσην εἶναι τὴν βγ, τῇ εζ. Ἀπόδειξις.) Ἐφαρμοσάσης δὴ τῆς βγ, ἐπὶ τὴν εζ ἐφαρμόσουσι, καὶ αἱ βα, γα: ἐπὶ τὰς εδ, δζ. εἰ γὰρ βάσις μὲν ἡ βγ, ἐπὶ βάσιν τὴν εζ ἐφαρμόσει: αἱ δὲ βα, αγ πλευραὶ ἐπὶ τὰς εδ, δζ, οὐκ ἐφαρμόζουσιν: ἀλλὰ παραλλάξουσιν, ὡς αἱ εη, ηζ: συσταθήσονται ἐπὶ τῆς αὐτῆς εὐθείας, δύο ταῖς αὐταῖς εὐθείαις· ἄλλαι δύο εὐθεῖαι ἴσαι ἑκατέρα ἑκατέρα πρὸς ἄλλω καὶ ἄλλω σημείω ἐπὶ τὰ αὐτὰ μέρη τὰ αὐτὰ πέρατα ἔχουσαι· οὐ συνίστανται δέ· οὐκ ἄρα ἐφαρμοζομένης τῆς $\overline{βγ}$ βάσεως, ἐπὶ τὴν εζ βάσιν· οὐκ ἐφαρμόσουσι καὶ αἱ $\overline{βα}$, $\overline{αγ}$ πλευραὶ ἐπὶ τὰς εδ, δζ. ἐφαρμόσουσιν ἄρα, ὥστε καὶ γωνία ἡ ὑπὸ $\overline{βαγ}$, ἐπὶ γωνίαν τὴν ὑπὸ εδζ ἐφαρμόσει· καὶ ἴση αὐτῇ ἔσται. Συμπέρασμα.) Ἐὰν ἄρα δύο τρίγωνα, τὰς δύο πλευρὰς, ταῖς δυσὶ πλευραῖς, ἴσας ἔχῃ ἑκατέραν ἑκατέρα· καὶ τὴν βάσιν τῇ βάσει ἴσην ἔχει· καὶ τὴν γωνίαν τῇ γωνία ἴσην ἕξει, τὴν ὑπὸ τῶν ἴσων εὐθειῶν περιεχομένην. ὅπερ ἔδει δεῖξαι.

Πρότασις θ. Πρόβλημα.

ΤΗν δοθεῖσαν γωνίαν εὐθύγραμμον· δίχα τεμεῖν.

Ἔκθεσις.) Ἔστω ἡ δοθεῖσα γωνία εὐθύγραμμος, ἡ ὑπὸ $\overline{βαγ}$. Διορισμός.) Δεῖ δὴ αὐτὴν· δίχα τεμεῖν. Κατασκευή.) Εἰλήφθω ἐπὶ τῆς $\overline{αβ}$, τυχὸν σημεῖον τὸ δ. καὶ ἀφῃρήσθω ἀπὸ τῆς $\overline{αγ}$, τῇ $\overline{αδ}$ ἴση ἡ αε· καὶ ἐπεζεύχθω ἡ δε. καὶ συνεστάτω ἐπὶ τῆς δε· τρίγωνον ἰσόπλευρον.

πλευρον, τὸ δεζ, καὶ ἐπεζεύχθω ἡ αζ. Διορισμὸς τῆς κατασκευῆς.) Λέγω ὅτι ἡ ὑπὸ βαγ γωνία δίχα τέτμηται ὑπὸ τῆς αζ εὐθείας. Ἀπόδειξις.) Ἐπεὶ γὰρ ἴση ἐστὶν ἡ αδ, τῇ αε: κοινὴ δὲ ἡ αζ: δύο δὴ αἱ δα, αζ, δυσὶ ταῖς εα, αζ, ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ· καὶ βάσις ἡ δζ βάσει τῇ εζ ἴση ἐστί. γωνία ἄρα ἡ ὑπὸ δαζ, γωνίᾳ τῇ ὑπὸ εαζ, ἐστὶν ἴση. Συμπέρασμα.) Ἡ ἄρα δοθεῖσα γωνία εὐθύγραμμος ἡ ὑπὸ βαγ δίχα τέτμηται ὑπὸ τῆς αζ εὐθείας, ὅπερ ἔδει ποιῆσαι.

Πρότασις ι. Πρόβλημα.

Τὴν δοθεῖσαν εὐθεῖαν πεπερασμένην δίχα τεμεῖν.

Ἔκθεσις.) Ἔστω ἡ δοθεῖσα εὐθεῖα πεπερασμένη, ἡ αβ. Διορισμός.) Δεῖ δὴ τὴν αβ, δίχα τεμεῖν. Κατασκευή.) Συνεστάτω ἐπ' αὐτῆς τρίγωνον ἰσόπλευρον τὸ αβγ̄· καὶ τετμήσθω ἡ ὑπὸ αβγ̄ γωνία δίχα, τῇ γδ̄ εὐθείᾳ. Διορισμὸς τῆς κατασκευῆς.) Λέγω ὅτι ἡ ᾱβ εὐθεῖα, δίχα τέτμηται, κατὰ τὸ δ σημεῖον. Ἀπόδειξις.) Ἐπεὶ γὰρ ἴση ἐστὶν ἡ αγ̄, τῇ γβ̄· κοινὴ δὲ γδ̄· δύο δὴ αἱ αγ̄, γδ̄· δύσι ταῖς βγ̄, γδ̄, ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρα· καὶ γωνία ἡ ὑπὸ αγδ̄, γωνίᾳ τῇ ὑπὸ βγδ̄ ἐστὶν ἴση. βάσις ἄρα ἡ αδ̄· βάσει τῇ βδ̄ ἐστὶν ἴση. Συμπέρασμα.) Ἡ ἄρα δοθεῖσα εὐθεῖα πεπερασμένη ἡ ᾱβ· δίχα τέτμηται κατὰ τὸ δ. ὅπερ ἔδει ποιῆσαι.

Πρότασις ια. Πρόβλημα.

ΤΗ δοθείσῃ εὐθείᾳ, ἀπὸ τοῦ πρὸς αὐτῇ δοθέντος σημείου· πρὸς ὀρθὰς γωνίας, εὐθεῖαν γραμμὴν ἀγαγεῖν.



Ἔκθεσις.) Ἔστω μὲν δοθεῖσα εὐθεῖα, ἡ ᾱβ· τὸ δὲ δοθὲν σημεῖον ἐπ' αὐτῆς, τὸ γ̄. Διορισμός.) Δεῖ δὴ ἀπὸ τοῦ γ̄ σημείου, τῇ ᾱβ εὐθείᾳ· πρὸς ὀρθὰς γωνίας εὐθεῖαν γραμμὴν ἀγαγεῖν. Κατασκευή.)

Εἰλή-

Εἰλήφθω ἐπὶ τῆς αγ· τυχὸν σημεῖον τὸ δ· καὶ κείσθω τῇ γδ ἴση, ἡ γε. καὶ συνεστάτω ἐπὶ τῆς δε· τρίγωνον ἰσόπλευρον τὸ ζδε. καὶ ἐπεζεύχθω ἡ ζγ. Διορισμὸς τῆς κατασκευῆς.) Λέγω ὅτι τῇ δοθείσῃ εὐθείᾳ τῇ αβ, ἀπὸ τοῦ πρὸς αὐτῇ δοθέντος σημείου τοῦ γ· πρὸς ὀρθὰς γωνίας εὐθεῖα γραμμὴ ἦκται ἡ ζγ. Απόδειξις.) Επεὶ γὰρ ἴση ἐστὶν ἡ δγ, τῇ γε· κοινὴ δὲ ἡ ζγ· δύο δὴ αἱ δγ, γζ, δυσὶ ταῖς εγ, γζ, ἴσαι εἰσὶν, ἑκάτερα ἑκατέρᾳ· καὶ βάσις ἡ δζ, βάσει τῇ εζ ἴση ἐστί. γωνία ἄρα ἡ ὑπὸ δγζ, γωνίᾳ τῇ ὑπὸ εγζ, ἴση ἐστί, καὶ εἰσὶν ἐφεξῆς. ὅταν δὲ εὐθεῖα ἐπ' εὐθεῖαν σταθεῖσα· τὰς ἐφεξῆς γωνίας, ἴσας ἀλλήλαις ποιῇ· ὀρθὴ ἐστὶν ἑκατέρα τῶν ἴσων γωνιῶν. ὀρθὴ ἄρα ἐστὶν ἑκατέρα, τῶν ὑπὸ δγζ, ζγε. Συμπέρασμα.) Τῇ ἄρα δοθείσῃ εὐθείᾳ τῇ αγ· ἀπὸ τοῦ πρὸς αὐτῇ δοθέντος σημείου τοῦ γ· πρὸς ὀρθὰς γωνίας εὐθεῖα γραμμὴ ἦκται, ἡ ζγ. ὅπερ ἔδει ποιῆσαι.

Πρότασις ιβ. Πρόβλημα.

Επὶ τὴν δοθεῖσαν εὐθεῖαν ἄπειρον, ἀπὸ τοῦ δοθέντος σημείου ὃ μὴ ἐστὶν ἐπ' αὐτῆς· κάθετον εὐθεῖαν γραμμὴν ἀγαγεῖν.

Ἔκθεσις.) Ἔστω μὲν δοθεῖσα εὐθεῖα ἄπειρος, ἡ αβ· τὸ δὲ δοθὲν σημεῖον, ὃ μή ἐστιν ἐπ' αὐτῆς, τὸ γ. Διορισμός.) Δεῖ δὴ ἐπὶ τὴν δοθεῖσαν εὐθεῖαν ἄπειρον τὴν αβ· ἀπὸ τοῦ δοθέντος σημείου τοῦ γ, ὃ μή ἐστιν ἐπ' αὐτῆς· κάθετον εὐθεῖαν γραμμὴν ἀγαγεῖν. Κατασκευή.) Εἰλήφθω γὰρ ἐπὶ τὰ ἕτερα μέρη τῆς αβ εὐθείας, τυχὸν σημεῖον τὸ δ. καὶ κέντρῳ μὲν τῷ γ, διαστήματι δὲ τῷ γδ· κύκλος γεγράφθω ὁ εζη. καὶ τετμήσθω ἡ εη δίχα κατὰ τὸ θ. καὶ ἐπεζεύχθωσαν αἱ γη, γθ, γε.



Διορισμὸς τῆς κατασκευῆς.) Λέγω ὅτι, ἐπὶ τὴν δοθεῖσαν εὐθεῖαν ἄπειρον τὴν αβ, ἀπὸ τοῦ δοθέντος σημείου τοῦ γ, ὃ μή ἐστιν ἐπ' αὐτῆς· κάθετος ἦκται ἡ γθ. Ἀπόδειξις.) Ἐπεὶ γὰρ ἴση ἐστὶν ἡ ηθ τῇ θε· κοινὴ δὲ ἡ θγ. δύο δὴ αἱ ηθ, θγ· δυσὶ ταῖς εθ, θγ, ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ· καὶ βάσις ἡ γη, βάσει τῇ γε, ἐστὶν ἴση. γωνία ἄρα ἡ ὑπὸ γθη, γωνίᾳ τῇ ὑπὸ εθγ ἐστὶν ἴση. καὶ εἰσὶν ἐφεξῆς. ὅταν δὲ εὐθεῖα ἐπ' εὐθεῖαν σταθεῖσα· τὰς ἐφεξῆς γωνίας ἴσας ἀλλήλαις ποιῇ· ὀρθὴ ἐστὶν ἑκά-

τερα

περὶ τῶν ἴσων γωνιῶν. καὶ ἡ ἐφεστηκυῖα εὐθεῖα κάθετος καλεῖται ἐφ' ἣν ἐφέστηκεν. Συμπέρασμα.) Ἐπὶ τὴν δοθεῖσαν ἄρα εὐθεῖαν ἄπειρον, τὴν αβ ἀπὸ τοῦ δοθέντος σημείου τοῦ γ, ὃ μή ἐστιν ἐπ' αὐτῆς: κάθετος ἦκται ἡ γθ. ὅπερ ἔδει ποιῆσαι.

Πρότασις ιγ. θεώρημα.

Ὡς ἂν εὐθεῖα ἐπ' εὐθεῖαν σταθεῖσα, γωνίας ποιῇ: ἤτοι δύο ὀρθὰς, ἢ δυσὶν ὀρθαῖς ἴσας, ποιήσει.



Ἔκθεσις.) Εὐθεῖα γάρ τις ἡ αβ, ἐπ' εὐθεῖαν τὴν γδ σταθεῖσα: γωνίας ποιείτω, τὰς ὑπὸ γβα, αβδ. Διορισμός.) Λέγω ὅτι αἱ ὑπὸ γβα, αβδ, γωνίαι ἢ δύο ὀρθαί εἰσιν, ἢ δυσὶν ὀρθαῖς ἴσαι. Κατασκευή.) Εἰ μὲν οὖν ἴση ἐστὶν ἡ ὑπὸ γβα, τῇ ὑπὸ αβδ: δύο ὀρθαί εἰσιν. εἰ δὲ οὔ. ἤχθω ἀπὸ τοῦ β σημείου, τῇ γδ πρὸς ὀρθὰς, ἡ βε. Ἀπόδειξις.) αἱ ἄρα ὑπὸ γβε, εβδ, δύο ὀρθαί εἰσι. καὶ ἐπεὶ ἡ ὑπὸ γβε δυσὶ ταῖς ὑπὸ γβα, αβε ἴση ἐστί: κοινὴ προσκείσθω ἡ ὑπὸ εβδ. αἱ ἄρα ὑπὸ γβε, εβδ: τρισὶ ταῖς ὑπὸ γβα, αβε, εβδ, εἰσὶν ἴσαι. πάλιν ἐπεὶ ἡ ὑπὸ δβα, δυσὶ ταῖς ὑπὸ δβε, εβα ἴση ἐστί. κοινὴ προσκείσθω, ἡ ὑπὸ αβγ. αἱ ἄρα γωνίαι, αἱ ὑπὸ δβα, αβγ τρισὶ ταῖς ὑπὸ δβε, εβα, αβγ ἴσαι εἰσὶν. ἐδείχθησαν δὲ, καὶ αἱ ὑπὸ γβε, εβδ: τρισὶ ταῖς αὐταῖς ἴσαι. τὰ δὲ τῷ αὐτῷ ἴσα: καὶ ἀλλήλοις ἐστὶν ἴσα. καὶ αἱ ὑπὸ γβε, εβδ ἄρα, ταῖς ὑπὸ δβα, αβγ, ἴσαι εἰσὶν. ἀλλὰ αἱ ὑπὸ γβε, εβδ, δύο ὀρθαί εἰσι. καὶ αἱ ὑπὸ δβα, αβγ ἄρα δυσὶν ὀρθαῖς ἴσαι εἰσὶν. Συμπέρασμα.) Ὡς ἂν ἄρα εὐθεῖα ἐπ' εὐθεῖαν σταθεῖσα γωνίας ποιῇ: ἤτοι δύο ὀρθὰς, ἢ δυσὶν ὀρθαῖς ἴσας ποιήσει. ὅπερ ἔδει δεῖξαι.

Πρότασις ιδ. θεώρημα.

ΕΑν πρός τινι εὐθεῖα, καὶ τῷ πρὸς αὐτῇ σημείῳ: δύο εὐθεῖαι μὴ ἐπὶ τὰ αὐτὰ μέρη κείμεναι: τὰς ἐφεξῆς γωνίας, δυσὶν ὀρθαῖς ἴσας ποιῶσιν: ἐπ' εὐθείας ἔσονται, ἀλλήλαις αἱ εὐθεῖαι.

Ἔκθεσις.) Πρὸς γὰρ τίνι εὐθεῖα τῇ αβ, καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ β: δύο εὐθεῖαι αἱ βγ, βδ: μὴ ἐπὶ τὰ αὐτὰ μέρη κείμεναι: τὰς ἐφε-

ξῆς

ξῆς γωνίας τὰς ὑπὸ αβγ, αβδ, δύσιν ὀρθαῖς ἴσας ποιήτωσαν. Διορισμός.) Λέγω ὅτι ἐπ' εὐθείας ἐστὶ τῇ γβ ἡ βδ. Κατασκευή.) Εἰ γὰρ μή ἐστι τῇ βγ ἐπ' εὐθείας ἡ βδ: ἔστω τῇ γβ ἐπ' εὐθείας ἡ βε. Ἀπόδειξις.) Ἐπεὶ οὖν εὐθεῖα ἡ αβ, ἐπ' εὐθεῖαν τὴν γβε ἐφέστηκεν: αἱ ἄρα ὑπὸ αβγ, αβε γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν. εἰσὶ δὲ καὶ αἱ ὑπὸ αβγ, αβδ, δύσιν ὀρθαῖς ἴσαι. αἱ ἄρα ὑπὸ γβα, αβε: ταῖς ὑπὸ γβα, αβδ ἴσαι εἰσί. κοινὴ ἀφῃρήσθω, ἡ ὑπὸ αβγ. λοιπὴ ἄρα ἡ ὑπὸ αβε: λοιπῇ τῇ ὑπὸ αβδ ἐστὶν ἴση, ἡ ἐλάσσων τῇ μείζονι, ὅπερ ἐστὶν ἀδύνατον. οὐκ ἄρα ἐπ' εὐθείας ἐστὶν ἡ βε, τῇ βγ. ὁμοίως δὴ δείξομεν, ὅτι οὐδὲ ἄλλη τις, πλὴν τῆς βδ. Συμπέρασμα.) Ἐπ' εὐθείας ἄρα ἐστὶν ἡ γβ, τῇ βδ. Ἐὰν ἄρα πρός τινι εὐθείᾳ: καὶ τῷ πρὸς αὐτῇ σημείῳ: δύο εὐθεῖαι μὴ ἐπὶ τὰ αὐτὰ μέρη κείμεναι: τὰς ἐφεξῆς γωνίας δυσὶν ὀρθαῖς ἴσας ποιῶσιν: ἐπ' εὐθείας ἔσονται ἀλλήλαις αἱ εὐθεῖαι. ὅπερ ἔδει δεῖξαι.



Πρότασις ιε. θεώρημα.

Ἐὰν δύο εὐθεῖαι, τέμνωσιν ἀλλήλας· τὰς κατὰ κορυφὴν γωνίας, ἴσας ἀλλήλαις ποιήσουσι.

Ἔκθεσις.) Δύο γὰρ εὐθεῖαι αἱ αβ, γδ· τεμνέσθωσαν ἀλλήλας, κατὰ τὸ ε σημεῖον. Διορισμὸς) Λέγω ὅτι ἴση ἐστὶν, ἡ μὲν ὑπὸ αεγ, γωνία· τῇ ὑπὸ δεβ· ἡ δὲ ὑπὸ γεβ, τῇ ὑπὸ αεδ. Ἀπόδειξις.) Ἐπεὶ γὰρ εὐθεῖα ἡ αε· ἐπ' εὐθεῖαν, τὴν γδ



ἐφέστηκε, γωνίας ποιοῦσα τὰς ὑπὸ γεα, αεδ· αἱ ἄρα ὑπὸ γεα, αεδ γωνίαι· δυσὶν ὀρθαῖς ἴσαι εἰσί. πάλιν ἐπεὶ εὐθεῖα ἡ δε, ἐπ' εὐθεῖαν τὴν αβ ἐφέστηκε· γωνίας ποιοῦσα τὰς ὑπὸ αεδ, δεβ, αἱ ἄρα ὑπὸ αεδ, δεβ γωνίαι· δυσὶν ὀρθαῖς ἴσαι εἰσὶν. ἐδείχθησαν δὲ καὶ αἱ ὑπὸ γεα, αεδ· δυσὶν ὀρθαῖς ἴσαι. αἱ ἄρα ὑπὸ γεα. αεδ· ταῖς ὑπὸ αεδ, δεβ, ἴσαι εἰσί. κοινὴ ἀφῃρήσθω ἡ ὑπὸ αεδ. λοιπὴ ἄρα ἡ ὑπὸ γεα· λοιπῇ τῇ ὑπὸ βεδ ἴση ἐστὶν. ὁμοίως δὴ δειχθήσεται· ὅτι καὶ αἱ ὑπὸ γεβ, δεα, ἴσαι εἰσὶν. Συμπέρασμα.) Ἐὰν ἄρα δύο εὐθεῖαι, τέμνωσιν ἀλ-

λήλας

λήλας: τὰς κατὰ κορυφὴν γωνίας, ἴσας ἀλλήλαις ποιοῦσιν. ὅπερ ἔδει δεῖξαι.

Πόρισμα. Ἐκ δὴ τούτου φανερὸν, ὅτι καὶ ὅσαι δήποτ' οὖν εὐθεῖαι τέμνωσιν ἀλλήλας: τὰς πρὸς τῇ τομῇ γωνίας, τέτρασιν ὀρθαῖς ἴσας ποιήσουσι.

Πρότασις ις. θεώρημα.

ΠΑντὸς τριγώνου, μιᾶς τῶν πλευρῶν προσεκβληθείσης: ἡ ἐκτὸς γωνία, ἑκατέρας τῶν ἐντὸς καὶ ἀπ' ἐναντίον μείζων ἐστίν.



Ἔκθεσις.) Ἔστω τρίγωνον, τὸ αβγ: καὶ προσεκβεβλήσθω αὐτοῦ μία πλευρὰ ἡ βγ, ἐπὶ τὸ δ. Διορισμός.) Λέγω ὅτι ἡ ἐκτὸς γωνία ἡ ὑπὸ αγδ: μείζων ἐστὶν ἑκατέρας τῶν ἐντὸς καὶ ἀπεναντίον: τῶν ὑπὸ γβα, βαγ γωνιῶν. Κατασκευή.) Τετμήσθω ἡ αγ δίχα κατὰ τὸ ε: καὶ ἐπιζευχθεῖσα ἡ βε: ἐκβεβλήσθω ἐπὶ τὸ ζ: καὶ κείσθω τῇ βε, ἴση ἡ εζ: καὶ ἐπεζεύχθω ἡ ζγ: καὶ διήχθω ἡ αγ, ἐπὶ τὸ η. Ἀπόδειξις.) Ἐπεὶ οὖν ἴση ἐστὶν ἡ μὲν αε, τῇ εγ. ἡ δὲ βε, τῇ εζ: δύο δὴ αἱ αε εβ:

δυσὶ

δυσὶ ταῖς γε, εζ ἴσαι εἰσὶν ἑκάτερα ἑκατέρᾳ· καὶ γωνία ἡ ὑπὸ αεβ, γωνίᾳ τῇ ὑπὸ ζεγ ἴση ἐστίν. κατὰ κορυφὴν γάρ. βάσις ἄρα ἡ αβ, βάσει τῇ ζγ ἴση ἐστί· καὶ τὸ αβε τρίγωνον, τῷ ζεδ τριγώνῳ ἐστὶν ἴσον· καὶ αἱ λοιπαὶ γωνίαι, ταῖς λοιπαῖς γωνίαις ἴσαι εἰσὶν ἑκάτερα ἑκατέρᾳ ὑφ᾽ ἃς αἱ ἴσαι πλευραὶ ὑποτείνουσιν. ἴση ἄρα ἐστὶν ἡ ὑπὸ βαε, τῇ ὑπὸ εγζ· μείζων δ᾽ ἐστὶν ἡ ὑπὸ εγδ, τῆς ὑπὸ εγζ. μείζων ἄρα ἡ ὑπὸ αγδ, τῆς ὑπὸ βαε. ὁμοίως δὲ τῆς βγ τετμημένης δίχα· δειχθήσεται καὶ ἡ ὑπὸ βγη, τουτέστιν ἡ ὑπὸ αγδ, μείζων καὶ τῆς ὑπὸ αβγ. Συμπέρασμα.) Παντὸς ἄρα τριγώνου, μιᾶς τῶν πλευρῶν προσεκβληθείσης· ἡ ἐκτὸς γωνία, ἑκατέρας τῶν ἐντὸς καὶ ἀπεναντίον μείζων ἐστίν. ὅπερ ἔδει δεῖξαι.

Πρότασις ιζ. θεώρημα.

ΠΑντὸς τριγώνου, αἱ δύο γωνίαι· δύο ὀρθῶν ἐλάσσονές εἰσι, πάντη μεταλαμβανόμεναι.

Ἔκθεσις.) Ἔστω τρίγωνον, τὸ αβγ. Διορισμός.) Λέγω ὅτι τοῦ αβγ, τριγώνου, αἱ δύο γωνίαι· δύο ὀρθῶν ἐλάσσονες εἰσὶ, πάντη μετα-

λαμ-



λαμβανόμεναι. Κατασκευή.) Ἐκβεβλήσθω γὰρ ἡ $\overline{βγ}$, ἐπὶ τὸ δ. Ἀπόδειξις.) Καὶ ἐπεὶ τριγώνου τοῦ $\overline{αβγ}$ ἐκτός ἐστι γωνία ἡ ὑπὸ $\overline{αγδ}$: μείζων ἐστὶ τῆς ἐντὸς καὶ ἀπ' ἐναντίον, τῆς ὑπὸ $\overline{αβγ}$. κοινὴ προσκείσθω, ἡ ὑπὸ $\overline{αβγ}$. αἱ ἄρα ὑπὸ $\overline{αγδ}$, $\overline{αγβ}$, τῶν ὑπὸ $\overline{αβγ}$, $\overline{βγα}$ μείζονές εἰσιν. ἀλλ' αἱ ὑπὸ $\overline{αγδ}$, $\overline{αγβ}$, δύσιν ὀρθαῖς ἴσαι εἰσίν. αἱ ἄρα ὑπὸ $\overline{αβγ}$, $\overline{βγα}$, δύο ὀρθῶν ἐλάσσονές εἰσι. ὁμοίως δὴ δείξομεν: ὅτι γ αἱ ὑπὸ $\overline{βαγ}$, $\overline{αγβ}$: δύο ὀρθῶν ἐλάσσονές εἰσι: καὶ ἔτι αἱ ὑπὸ $\overline{αγβ}$, $\overline{αβγ}$. Συμπέρασμα.) Παντὸς ἄρα τριγώνου, αἱ δύο γωνίαι: δύο ὀρθῶν ἐλάσσονές εἰσι πάντη μεταλαμβανόμεναι. ὅπερ ἔδει δεῖξαι.

Πρότασις ιη. θεώρημα.

Παντὸς τριγώνου, ἡ μείζων πλευρὰ τὴν μείζονα γωνίαν ὑποτείνει.

Ἔκθεσις.) Ἔστω τρίγωνον, τὸ αβγ, μείζονα ἔχον τὴν $\overline{αγ}$ πλευρὰν, τῆς $\overline{αβ}$. Διορισμός.) Λέγω ὅτι καὶ γωνία ἡ ὑπὸ $\overline{αβγ}$: μείζων ἐστὶ, τῆς

ὑπὸ

ὑπὸ βγα. Κατασκευή.) Ἐπεὶ γὰρ μείζων ἐστὶν ἡ αγ, τῆς αβ: κείσθω τῇ αβ ἴση ἡ αδ: καὶ ἐπεζεύχθω, ἡ βδ. Ἀπόδειξις.) Καὶ ἐπεὶ τριγώνου τοῦ βδγ: ἐκτὸς ἐστὶ γωνία ἡ ὑπὸ αδβ: μείζων ἄρα ἐστὶ τῆς ἐντὸς, καὶ ἀπ' ἐναντίον, τῆς ὑπὸ δγβ. ἴση δὲ ἡ ὑπὸ αδβ: τῇ ὑπὸ αβδ. ἐπεὶ καὶ πλευρὰ ἡ αβ, τῇ αδ ἐστὶν ἴση. μείζων ἄρα καὶ ἡ ὑπὸ αβδ, τῆς ὑπὸ αγβ. πολλῷ ἄρα ἡ ὑπὸ αβγ μείζων ἐστὶ, τῆς ὑπὸ αγβ. Συμπέρασμα.) Παντὸς ἄρα τριγώνου, ἡ μείζων πλευρὰ τὴν μείζονα γωνίαν ὑποτείνει. ὅπερ ἔδει δεῖξαι.



Πρότασις ιθ. θεώρημα.

ΠΑντὸς τριγώνου, ὑπὸ τὴν μείζονα γωνίαν ἡ μείζων πλευρὰ ὑποτείνει.

Ἔκθεσις.) Ἔστω τρίγωνον τὸ αβγ, μείζονα ἔχον τὴν ὑπὸ αβγ γωνίαν τῆς ὑπὸ βγα. Διορισμός.) Λέγω ὅτι καὶ πλευρὰ ἡ αγ:



πλευρᾶς

πλευρᾶς τῆς αβ μείζων ἐστίν. Ἀπόδειξις.) Εἰ γὰρ μή, ἤτοι ἴση ἐστὶν ἡ αγ, τῇ αβ, ἢ ἐλάσσων. ἴση μὲν οὖν οὐκ ἔστιν ἡ αγ, τῇ αβ. ἴση γὰρ ἂν ἦν καὶ γωνία ἡ ὑπὸ αβγ, τῇ ὑπὸ αγβ. οὐκ ἔστι δέ, οὐκ ἄρα ἴση ἐστὶν ἡ αγ, τῇ αβ. οὐ δὲ μὴν ἐλάσσων ἐστὶν ἡ αγ, τῆς αβ, ἐλάσσων γὰρ ἂν ἦν καὶ γωνία ἡ ὑπὸ αβγ τῆς ὑπὸ αγβ. οὐκ ἔστι δέ. οὐκ ἄρα ἐλάσσων ἐστὶν ἡ αγ, τῆς αβ. ἐδείχθη δέ, ὅτι οὐδὲ ἴση ἐστί. μείζων ἄρα ἐστὶν ἡ αγ, τῆς αβ. Συμπέρασμα.) Παντὸς ἄρα τριγώνου ὑπὸ τὴν μείζονα γωνίαν ἡ μείζων πλευρὰ ὑποτείνει. ὅπερ ἔδει δεῖξαι.

Πρότασις κ. θεώρημα.

ΠΑντὸς τριγώνου, αἱ δύο πλευραὶ τῆς λοιπῆς μείζονές εἰσι, πάντῃ μεταλαμβανόμεναι.

Ἔκθεσις.) Ἔστω γὰρ τρίγωνον τὸ αβγ. Διορισμός.) Λέγω ὅτι τοῦ αβγ τριγώνου αἱ δύο πλευραὶ τῆς λοιπῆς μείζονές εἰσι πάντῃ μεταλαμβανόμεναι, αἱ μὲν βα, αγ, τῆς βγ: αἱ δὲ αβ, βγ: τῆς αγ.

αἱ δὲ, βγ, γα· τῆς αβ. Κατασκευή.) Διήχθω γὰρ ἡ βα ἐπὶ τὸ δ σημεῖον· καὶ κείσθω τῇ γα ἴση ἡ δα· καὶ ἐπεζεύχθω ἡ δγ. Ἀπόδειξις.) Ἐπεὶ οὖν ἴση ἐστὶν ἡ δα, τῇ αγ. ἴση ἐστὶν καὶ γωνία ἡ ὑπὸ αδγ· τῇ ὑπὸ αγδ. ἀλλ' ἡ ὑπὸ βγδ γωνία· τῆς ὑπὸ αγδ μείζων ἐστί. μείζων ἄρα ἡ ὑπὸ βγδ· τῆς ὑπὸ αδγ. καὶ ἐπεὶ τρίγωνόν ἐστι τὸ δβγ, μείζονα ἔχον τὴν ὑπὸ βγδ γωνίαν, τῆς ὑπὸ αδγ· ὑπὸ δὲ τὴν μείζονα γωνίαν ἡ μείζων πλευρὰ ὑποτείνει. ἡ δβ ἄρα, τῆς βγ ἐστὶν μείζων. ἴση δὲ ἡ δβ, ταῖς αβ, αγ. μείζονες ἄρα αἱ βα, αγ, τῆς βγ. ὁμοίως δὴ δείξομεν ὅτι καὶ αἱ μὲν αβ, βγ· τῆς γα μείζονές εἰσιν. αἱ δὲ βγ, γα· τῆς αβ. Συμπέρασμα.) Παντὸς ἄρα τριγώνου, αἱ δύο πλευραί· τῆς λοιπῆς μείζονές εἰσι, πάντῃ μεταλαμβανόμεναι. ὅπερ ἔδει δεῖξαι.

Πρότασις καὶ θεώρημα.

Ἐὰν τριγώνου, ἐπὶ μιᾶς τῶν πλευρῶν· ἀπὸ τῶν περάτων δύο εὐθεῖαι ἐντὸς συσταθῶσιν· αἱ συσταθεῖσαι, τῶν λοιπῶν τοῦ τριγώνου δύο πλευρῶν, ἐλάττονες μὲν ἔσονται· μείζονα δὲ γωνίαν περιέξουσι.

Ἔκθεσις.

Ἔκθεσις.) Τριγώνου γὰρ τοῦ αβγ, ἐπὶ μιᾶς τῶν πλευρῶν τῆς βγ· ἀπὸ τῶν περάτων τῶν β, γ δύο εὐθεῖαι ἐντὸς συνεστάθωσαν· αἱ βδ. δγ. (Διορισμός.) Λέγω ὅτι αἱ βδ, δγ: τῶν λοιπῶν τοῦ τριγώνου δύο πλευρῶν, τῶν βα αγ: ἐλάσσονες μὲν εἰσι: μείζονα δὲ γωνίαν περιέχουσι: τὴν ὑπὸ βδγ, τῆς ὑπὸ βαγ. (Κατασκευή.) Διήχθω γὰρ ἡ βδ, ἐπὶ τὸ ε. (Ἀπόδειξις.) Καὶ ἐπεὶ



παντὸς τριγώνου: αἱ δύο πλευραὶ, τῆς λοιπῆς μείζονές εἰσι. τοῦ αβε ἄρα τριγώνου, αἱ δύο πλευραὶ αἱ αβ, αε: τῆς βε μείζονές εἰσι. κοινὴ προσκείσθω ἡ εγ. αἱ ἄρα βα, αγ: τῶν βε, εγ, μείζονές εἰσι. πάλιν ἐπεὶ τοῦ γεδ τριγώνου: αἱ δύο πλευραὶ αἱ γε, εδ, τῆς γδ μείζονές εἰσι. κοινὴ προσκείσθω ἡ δβ: αἱ γε, εβ ἄρα, τῶν γδ, γβ μείζονές εἰσιν. ἀλλὰ τῶν βε, εγ. μείζονες ἐδείχθησαν αἱ βα, αγ: πολλῷ ἄρα αἱ βα, αγ, μείζονές εἰσι. πάλιν ἐπεὶ παντὸς τριγώνου: ἡ ἐκτὸς γωνία, τῆς ἐντὸς καὶ ἀπεναντίον μείζον ἐστὶ. τοῦ γδε ἄρα τριγώνου: ἡ ἐκτὸς γωνία ἡ ὑπὸ βδγ, μείζον ἐστὶ τῆς ὑπὸ γεδ. διὰ τὰ αὐτὰ ἄρα καὶ τοῦ αβε τριγώνου: ἡ ἐκτὸς γωνία, ἡ ὑπὸ γεβ: μείζων ἐστὶ, τῆς ὑπὸ βαγ. ἀλλὰ τῆς ὑπὸ γεβ, μείζων ἐδείχθη ἡ ὑπὸ βδγ. πολλῷ ἄρα ἡ ὑπὸ βδγ: μείζων ἐστὶ τῆς ὑπὸ βαγ. (Συμπέρασμα.) Ἐὰν ἄρα τριγώνου, ἐπὶ μιᾶς τῶν πλευρῶν ἀπὸ τῶν περάτων: δύο εὐθεῖαι ἐντὸς συσταθῶσιν: αἱ συσταθεῖσαι, τῶν λοιπῶν τοῦ τριγώνου δύο πλευρῶν, ἐλάττονες μέν εἰσι: μείζονα δὲ γωνίαν περιέχουσιν. ὅπερ ἔδει δεῖξαι.

Πρότασις κβ. Πρόβλημα.

ΕΚ τριῶν εὐθειῶν: αἵ εἰσιν ἴσαι τρισὶ ταῖς δοθείσαις εὐθείαις: τρίγωνον συστήσασθαι. Δεῖ δὴ τὰς δύο, τῆς λοιπῆς μείζονας εἶναι: πάντη μεταλαμβανομένας. διὰ τὸ καὶ παντὸς τριγώνου: τὰς δύο πλευρὰς, τῆς λοιπῆς μείζονας εἶναι, πάντη μεταλαμβανομένας.

(Ἔκθεσις.) Ἔστωσαν αἱ δοθεῖσαι τρεῖς εὐθεῖαι αἱ α, β, γ, ὧν αἱ δύο, τῆς λοιπῆς μείζονες ἔστωσαν, πάντη με-



ταλαμπεριλαμβανόμεναι, αἱ μὲν α, β, τῆς γ, αἱ δὲ α, γ, τῆς β, καὶ ἔτι αἱ β, γ, τῆς α. (Διορισμός.) Δεῖ δὴ ἐκ τῶν ἴσων ταῖς α, β, γ, τρίγωνον συστήσασθαι. (Κατασκευή.) Ἐκκείσθω τίς εὐθεῖα ἡ δε, πεπερασμένη μὲν κατὰ τὸ δ, ἄπειρος δὲ κατὰ τὸ ε, καὶ κείσθω τῇ μὲν α ἴση, ἡ δζ, τῇ δὲ β, ἴση ἡ ζη, τῇ δὲ εγ, ἴση ἡ ηθ. καὶ κέντρῳ μὲν τῷ ζ, διαστήματι δὲ τῷ ζδ, κύκλος γεγράφθω, ὁ δκλ. καὶ πάλιν κέντρῳ μὲν τῷ η, διαστήματι δὲ τῷ ηθ, κύκλος γεγράφθω ὁ κλθ. καὶ ἐπεζεύχθωσαν αἱ κη. (Διορισμὸς τῆς κατασκευῆς.) Λέγω ὅτι ἐκ τριῶν εὐθειῶν τῶν ἴσων ταῖς α, β, γ, τρίγωνον συνέστηκε τὸ κζη. (Ἀπόδειξις.) Ἐπεὶ γὰρ τὸ ζ σημεῖον, κέντρον ἐστὶ τοῦ δκλ κύκλου, ἴση ἐστὶν ἡ ζδ, τῇ ζκ, ἀλλὰ ἡ ζδ τῇ α ἐστὶν ἴση. καὶ ἡ κζ ἄρα τῇ α ἐστὶν ἴση. πάλιν ἐπὶ τὸ η σημεῖον, κέντρον ἐστὶν τοῦ λκθ κύκλου, ἴση ἐστὶν ἡ ηθ, τῇ ηκ, ἀλλὰ ἡ ηθ, τῇ γ ἐστὶν ἴση. καὶ ἡ κη ἄρα, τῇ γ ἐστὶν ἴση. ἔστι δὲ καὶ ἡ ζη: τῇ β ἴση. αἱ τρεῖς ἄρα εὐθεῖαι, αἱ κζ, ζη, ηκ: τρισὶ ταῖς α, β, γ ἴσαι εἰσίν. (Συμπέρασμα.) Ἐκ τριῶν ἄρα εὐθειῶν τῶν κζ, ζη, ηκ : αἵ εἰσιν ἴσαι τρισὶ ταῖς δοθείσαις εὐθείαις ταῖς α, β, γ: τρίγωνον συνίσαται, τὸ κζη. ὅπερ ἔδει ποιῆσαι.

Πρότασις κγ. πρόβλημα.

Πρὸς τῇ δοθείσῃ εὐθείᾳ: καὶ τῷ πρὸς αὐτῇ σημείῳ: τῇ δοθείσῃ γωνίᾳ εὐθυγράμμῳ: ἴσην γωνίαν εὐθύγραμμον συστήσασθαι.



Ἔκθεσις.) Ἔστω μὲν δοθεῖσα εὐθεῖα ἡ αβ: τὸ δὲ πρὸς αὐτῇ σημεῖον τὸ α: ἡ δὲ δοθεῖσα γωνία εὐθύγραμμος, ἡ ὑπὸ δγε. (Διορισμός.) Δεῖ δὴ πρὸς τῇ δοθείσῃ εὐθείᾳ τῇ αβ: καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ α: τῇ δοθείσῃ γωνίᾳ εὐθυγράμμῳ, τῇ ὑπὸ δγε: ἴσην γωνίαν εὐθύγραμμον συστήσασθαι. Κατασκευή.) Εἰλήφθω ἐφ' ἑκατέρας τῶν γδ, γε τυχόντα σημεῖα τὰ δ, ε: καὶ ἐπεζεύχθω ἡ δε: καὶ ἐκ τριῶν εὐθειῶν αἵ εἰσιν ἴσαι τρισὶ ταῖς γδ, δε, γε: τρίγωνον συνεστάτω τὸ αζη: ὥστε ἴσην εἶναι τὴν μὲν γδ, τῇ αζ: τὴν δὲ γε, τῇ αη: καὶ ἔτι τὴν δε, τῇ ζη. (Ἀπόδειξις.) Ἐπεὶ οὖν αἱ δύο αἱ δγ, γε δύσι ταῖς ζα, αη, ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ: καὶ βάσις ἡ δε, βάσει τῇ ζη ἴση. γωνία ἄρα ἡ ὑπὸ δγε,

γωνία

γωνία τῇ ὑπὸ ζαη ἐστὶν ἴση. (Συμπέρασμα.) Πρὸς ἄρα τῇ δοθείσῃ εὐθείᾳ τῇ αβ: καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ α: τῇ δοθείσῃ γωνίᾳ εὐθυγράμμῳ: τῇ ὑπὸ δγε, ἴση γωνία εὐθύγραμμος συνίσταται, ἡ ὑπὸ ζαη. ὅπερ ἔδει ποιῆσαι.

Πρότασις κδ: θεώρημα.

Ἐὰν δύο τρίγωνα, τὰς δύο πλευρὰς, ταῖς δυσὶ πλευραῖς ἴσας ἔχῃ, ἑκάτεραν ἑκατέρᾳ: τὴν δὲ γωνίαν τῆς γωνίας μείζονα ἔχῃ, τὴν ὑπὸ τῶν ἴσων εὐθειῶν περιεχομένην: καὶ τὴν βάσιν, τῆς βάσεως μείζονα ἕξει.

Ἔκθεσις.) Ἔστω δύο τρίγωνα, τὰ αβγ, δεζ: τὰς δύο πλευρὰς τὰς αβ, αγ: ταῖς δυσὶ πλευραῖς, ταῖς δε, δζ, ἴσας ἔχοντα ἑκατέραν ἑκατέρᾳ: τὴν μὲν αβ, τῇ δε: τὴν δὲ αγ, τῇ δζ: γωνία δὲ ἡ ὑπὸ βαγ, γωνίας τῆς ὑπὸ εδζ μείζων ἔστω. (Διορισμός.) Λέγω ὅτι καὶ βάσις ἡ βγ: βάσεως τῆς εζ, μείζων ἐστίν. (Κατασκευή.) Ἐπεὶ γὰρ μείζων ἐστὶν ἡ ὑπὸ βαγ γωνία: τῆς ὑπὸ εδζ γωνίας: συνεστάτω πρὸς τῇ δε εὐ-



θεία· καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ δ· τῇ ὑπὸ βαγ γωνίᾳ ἴση ἡ ὑπὸ εδη. καὶ κείσθω ὁποτέρᾳ τῶν αγ, δζ, ἴση ἡ δη· καὶ ἐπεζεύχθωσαν, αἱ ηε, ζη. (Ἀπόδειξις.) Ἐπεὶ οὖν ἴση ἐστὶν ἡ μὲν αβ, τῇ δε· ἡ δὲ αγ, τῇ δη· δύο δὴ αἱ βα, αγ· δυσὶ ταῖς εδ, δη ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ, καὶ γωνία ἡ ὑπὸ βαγ, γωνίᾳ τῇ ὑπὸ εδη, ἴση ἐστί. βάσις ἄρα ἡ βγ, βάσει τῇ εη, ἐστὶν ἴση. πάλιν, ἐπεὶ ἴση ἐστὶν ἡ δη, τῇ δζ· ἴση ἐστὶ καὶ γωνία ἡ ὑπὸ δζη· γωνίᾳ τῇ ὑπὸ δηζ. μείζων ἄρα ἡ ὑπὸ δζη· τῆς ὑπὸ εηζ. πολλῷ ἄρα μείζων ἐστὶν ἡ ὑπὸ εζη· τῆς ὑπὸ εηζ. καὶ ἐπεὶ τρίγωνόν ἐστι, τὸ εζη· μείζονα ἔχον τὴν ὑπὸ εζη γωνίαν τῆς ὑπὸ εηζ· ὑπὸ δὲ τὴν μείζονα γωνίαν, ἡ μείζων πλευρὰ ὑποτείνει. μείζων ἄρα καὶ πλευρὰ ἡ εη· τῆς εζ. ἴση δὲ ἡ εη, τῇ βγ. μείζων ἄρα καὶ ἡ βγ, τῆς εζ. (Συμπέρασμα.) Ἐὰν ἄρα δύο τρίγωνα, τὰς δύο πλευρὰς, ταῖς δυσὶ πλευραῖς ἴσας ἔχῃ ἑκατέραν ἑκατέρᾳ· τὴν δὲ γωνίαν τῆς γωνίας μείζονα ἔχῃ· τὴν ὑπὸ τῶν ἴσων εὐθειῶν περιεχομένην· καὶ τὴν βάσιν τῆς βάσεως μείζονα ἕξει. ὅπερ ἔδει δεῖξαι.

Πρότασις κε. θεώρημα.

Ἐὰν

Ἐὰν δύο τρίγωνα, τὰς δύο πλευρὰς, ταῖς δυσὶ πλευραῖς ἴσας ἔχῃ, ἑκατέραν ἑκατέρᾳ· τὴν βάσιν δὲ τῆς βάσεως, μείζονα ἔχῃ· καὶ τὴν γωνίαν, τῆς γωνίας μείζονα ἕξει· τὴν ὑπὸ τῶν ἴσων εὐθειῶν περιεχομένην.



Ἔκθεσις.) Ἔστω δύο τρίγωνα τὰ αβγ, δεζ, τὰς δύο πλευρὰς· τὰς αβ, αγ, ταῖς δυσὶ πλευραῖς ταῖς δε, δζ, ἴσας ἔχοντα· ἑκατέραν ἑκατέρᾳ· τὴν μὲν αβ, τῇ δε· τὴν δὲ αγ, τῇ δζ· βάσις δὲ ἡ βγ· βάσεως τῆς εζ, μείζων ἔστω. (Διορισμός.) Λέγω ὅτι καὶ γωνία, ἡ ὑπὸ βαγ· γωνίας τῆς ὑπὸ εδζ, μείζων ἐστίν. (Ἀπόδειξις.) Εἰ γὰρ μή, ἤτοι ἴση ἐστὶν αὐτῇ· ἢ ἐλάττων. ἴση μὲν οὖν οὐκ ἔστιν ἡ ὑπὸ βαγ γωνία· τῇ ὑπὸ εδζ· ἴση γὰρ ἂν ἦν, καὶ ἡ βάσις ἡ βγ· βάσει τῇ εζ. οὐκ ἔστι δέ. οὐκ ἄρα ἴση ἐστὶν ἡ ὑπὸ βαγ γωνία· τῇ ὑπὸ εδζ. ἀλλ᾽ οὐδὲ μὴν ἐλάσσων. ἐλάσσων γὰρ ἂν ἦν, καὶ βάσις ἡ βγ· βάσεως τῆς εζ. οὐκ ἔστι δέ. οὐκ ἄρα ἐλάσσων ἐστὶν ἡ ὑπὸ βαγ γωνία· τῆς ὑπὸ εδζ. ἐδείχθη δὲ ὅτι οὐδ᾽ ἴση. μείζων ἄρα ἐστὶν ἡ ὑπὸ βαγ γωνία· τῆς ὑπὸ, εδζ.

(Συμπέρασμα.) Ἐὰν ἄρα δύο τρίγωνα, τὰς δύο πλευρὰς ταῖς δυσὶ πλευραῖς ἴσας ἔχῃ ἑκατέραν ἑκατέρᾳ· τὴν δὲ βάσιν, τῆς βάσεως μείζονα ἔχει· καὶ τὴν γωνίαν, τῆς γωνίας μείζονα ἕξει· τὴν ὑπὸ τῶν ἴσων εὐθειῶν περιεχομένην. ὅπερ ἔδει δεῖξαι.

Πρότασις κϛ. θεώρημα.

Ἐὰν δύο τρίγωνα, τὰς δύο γωνίας, ταῖς δυσὶ γωνίαις ἴσας ἔχῃ ἑκατέραν ἑκατέρᾳ· καὶ μίαν πλευρὰν, μιᾷ πλευρᾷ ἴσην· ἤτοι τὴν πρὸς ταῖς ἴσαις γωνίαις· ἢ τὴν ὑποτείνουσαν ὑπὸ μίαν τῶν ἴσων γωνιῶν· καὶ τὰς λοιπὰς πλευρὰς, ταῖς λοιπαῖς πλευραῖς ἴσας ἕξει, ἑκατέραν ἑκατέρᾳ· καὶ τὴν λοιπὴν γωνίαν, τῇ λοιπῇ γωνίᾳ.



Ἔκθεσις πρώτη. Ἐστώσαν δύο τρίγωνα, τὰ α̅β̅γ̅ δ̅ε̅ζ̅, τὰς δύο γωνίας· τὰς ὑπὸ α̅β̅γ̅, β̅γ̅α̅, δυσὶ ταῖς ὑπὸ δ̅ε̅ζ̅, ε̅ζ̅δ̅, ἴσας ἔχοντα, ἑκατέραν ἑκατέρᾳ· τὴν μὲν ὑπὸ α̅β̅γ̅, τῇ ὑπὸ δ̅ε̅ζ̅· τὴν δὲ ὑπὸ β̅γ̅α̅, τῇ ὑπὸ ε̅ζ̅δ̅· ἐχέτω δὲ καὶ μίαν

πλευ-

πλευρὰν, μιᾷ πλευρᾷ ἴσην· πρότερον τὴν πρὸς ταῖς ἴσαις γωνίαις, τὴν βγ, τῇ εζ. (Διορισμὸς πρῶτος.) Λέγω ὅτι καὶ τὰς λοιπὰς πλευρὰς, ταῖς λοιπαῖς πλευραῖς ἴσας ἕξει ἑκατέραν ἑκατέρᾳ· τὴν μὲν αβ, τῇ δε· τὴν δὲ αγ, τῇ δζ· καὶ τὴν λοιπὴν γωνίαν, τῇ λοιπῇ γωνίᾳ, τὴν ὑπὸ βαγ, τῇ ὑπὸ εδζ. (Κατασκευὴ πρώτη.) Εἰ γὰρ ἄνισός ἐστιν ἡ αβ, τῇ δε· μία αὐτῶν μείζων ἔσται. ἔστω μείζων, ἡ αβ, καὶ κείσθω τῇ δε, ἴση ἡ ηβ· ἐπεζεύχθω ἡ ηγ. (Ἀπόδειξις πρώτη.) Ἐπεὶ οὖν ἴση ἐστὶν ἡ μὲν βη, τῇ δε· ἡ δὲ βγ, τῇ εζ· δύο δὴ αἱ βη, βγ· δυσὶ ταῖς δε, εζ, ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ· καὶ γωνία ἡ ὑπὸ ηβγ· γωνίᾳ τῇ ὑπὸ δεζ ἴση ἐστί. βάσις ἄρα ἡ ηγ, βάσει τῇ γζ ἴση ἐστί· καὶ τὸ ηγβ τρίγωνον, τῷ δεζ τριγώνῳ, ἴσον ἔσται· καὶ αἱ λοιπαὶ γωνίαι, ταῖς λοιπαῖς γωνίαις ἴσαι ἔσονται· ἑκατέρα ἑκατέρᾳ, ὑφ᾽ ἃς αἱ ἴσαι πλευραὶ ὑποτείνουσιν. ἴση ἄρα ἡ ὑπὸ ηγβ γωνία, τῇ ὑπὸ δζε· ἀλλὰ ἡ ὑπὸ δζε, τῇ ὑπὸ βγα ὑπόκειται ἴση. καὶ ἡ ὑπὸ βγη ἄρα, τῇ ὑπὸ βγα ἴση ἐστὶν, ἡ ἐλάσσων τῇ μείζονι. ὅπερ ἀδύνατον. (Συμπέρασμα πρῶτον.) οὐκ ἄρα ἄνισός ἐστιν ἡ αβ, τῇ δε. ἴση ἄρα. ἐστι δὲ καὶ ἡ βγ, τῇ εζ ἴση. δύο δὴ αἱ αβ, βγ: δύσι ταῖς δε, εζ, ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρα: καὶ γωνία ἡ ὑπὸ αβγ: γωνίᾳ τῇ ὑπὸ δεζ ἐστὶν ἴση. Βάσις ἄρα ἡ αγ: βάσει τῇ δζ, ἴση ἐστί: καὶ λοιπὴ γωνία ἡ ὑπὸ βαγ: λοιπῇ γωνίᾳ, τῇ ὑπὸ εδζ ἴση ἐστίν. (Ἔκθεσις δευτέρα.) Ἀλλὰ δὴ πάλιν ἔστωσαν, αἱ ὑπὸ τὰς ἴσας γωνίας πλευραὶ ὑποτείνουσαι ἴσαι: ὡς ἡ αβ, τῇ δε. (Διορισμὸς δεύτερος.) Λέγω πάλιν, ὅτι καὶ αἱ λοιπαὶ πλευραὶ, ταῖς λοιπαῖς πλευραῖς ἴσαι ἔσονται: ἡ μὲν αγ, τῇ δζ: ἡ δὲ βγ, τῇ εζ: καὶ ἔτι ἡ λοιπὴ γωνία, ἡ ὑπὸ βαγ: λοιπῇ τῇ ὑπὸ εδζ ἴση ἐστίν. (Κατασκευὴ δευτέρα.) Εἰ γὰρ ἄνισός ἐστιν ἡ βγ, τῇ εζ: μία αὐτῶν μείζων ἐστίν. ἔστω εἰ δυνατὸν μείζων, ἡ βγ: καὶ κείσθω τῇ εζ ἴση ἡ γθ: καὶ ἐπεζεύχθω ἡ αθ. (Ἀπόδειξις δευτέρα. Καὶ ἐπεὶ ἴση ἐστὶν ἡ μὲν βθ τῇ εζ: ἡ δὲ αβ τῇ δε: δύο δὴ αἱ αβ, βθ: δυσὶ ταῖς δε, εζ ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρα: καὶ γωνίας ἴσας περιέχουσι. Βάσις ἄρα ἡ αθ, βάσει τῇ δζ, ἴση ἐστί: καὶ τὸ αβθ τρίγωνον, τῷ δεζ τριγώνῳ ἴσον ἐστί: καὶ αἱ λοιπαὶ, γωνίαι, ταῖς λοιπαῖς γωνίαις, ἴσαι ἔσονται ἑκατέρα ἑκατέρα: ὑφ' ἃς αἱ ἴσαι πλευραὶ ὑποτείνουσιν. ἴση ἄρα ἐστὶν

ἡ ὑπὸ

ἡ ὑπὸ βθα γωνία· τῇ ὑπὸ εζδ. ἀλλὰ ἡ ὑπὸ εζδ, τῇ ὑπὸ βγα γωνία ἐστὶν ἴση· καὶ ἡ ὑπὸ βθα ἄρα, τῇ ὑπὸ βγα ἐστὶν ἴση. τριγώνου δὴ τοῦ αθγ, ἡ ἐκτὸς γωνία ἡ ὑπὸ βθα· ἴση ἐστὶ τῇ ἐντὸς καὶ ἀπ' ἐναντίον, τῇ ὑπὸ βγα. ὅπερ ἀδύνατόν ἐστιν. (Συμπέρασμα δεύτερον.) οὐκ ἄρα ἄνισός ἐστιν ἡ βγ, τῇ εζ. ἴση ἄρα. ἔστι δὲ καὶ ἡ αβ, τῇ δε ἴση· δύο δὴ αἱ αβ, βγ, δύσι ταῖς δε, εζ, ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ· καὶ γωνίας ἴσας περιέχουσι. βάσις ἄρα ἡ αγ, βάσει τῇ δζ ἴση ἐστὶ, καὶ τὸ αβγ τρίγωνον, τῷ δεζ τριγώνῳ ἴσον ἐστὶ· καὶ ἡ λοιπὴ γωνία, ἡ ὑπὸ βαγ· τῇ λοιπῇ γωνίᾳ, τῇ ὑπὸ εδζ, ἴση ἐστὶν. (Συμπέρασμα καθόλου.) Ἐὰν ἄρα δύο τρίγωνα, τὰς δύο γωνίας ταῖς δυσὶ γωνίαις ἴσας ἔχῃ ἑκατέραν ἑκατέρᾳ· καὶ μίαν πλευρὰν μιᾷ πλευρᾷ ἴσην ἔχῃ· ἤτοι τὴν πρὸς ταῖς ἴσαις γωνίαις· ἢ τὴν ὑποτείνουσαν ὑπὸ μίαν τῶν ἴσων γωνιῶν· καὶ τὰς λοιπὰς πλευρὰς, ταῖς λοιπαῖς πλευραῖς ἴσας ἕξει· καὶ τὴν λοιπὴν γωνίαν· τῇ λοιπῇ γωνίᾳ. ὅπερ ἔδει δεῖξαι.

ΕΥΚΛΕΙΔΟΥ

ΤΟ ΔΕΥΤΕΡΟΝ ΜΕΡΟΣ ΤΟΥΤΟΥ τοῦ στοιχείου.

Πρότασις κζ. θεώρημα.

Ἐὰν εἰς δύο εὐθείας, εὐθεῖα ἐμπίπτουσα, τὰς ἐναλλὰξ γωνίας ἴσας ἀλλήλαις ποιῇ: παράλληλοι ἔσονται ἀλλήλαις αἱ εὐθεῖαι.



Ἔκθεσις.) Εἰς γὰρ δύο εὐθείας τὰς αβ, γδ: εὐθεῖα ἐμπίπτουσα ἡ εζ: τὰς ἐναλλὰξ γωνίας τὰς ὑπὸ αεζ, εζγ: ἴσας ἀλλήλαις ποιήτω. (Διορισμός.) Λέγω ὅτι παράλληλός ἐστιν ἡ αβ εὐθεῖα, τῇ γδ εὐθείᾳ. (Ὑπόθεσις.) Εἰ γὰρ μή, ἐκβαλλόμεναι αἱ αβ, γδ, συμπεσοῦνται: ἤτοι ἐπὶ τὰ β, δ, μέρη, ἢ ἐπὶ τὰ α, γ. (Κατασκευή.) Ἐκβεβλήσθωσαν, καὶ συμπιπτέτωσαν ἐπὶ τὰ β, δ, μέρη: κατὰ τὸ η. (Ἀπόδειξις.) Τριγώνου δὴ τοῦ ηεζ: ἡ ἐκτὸς γωνία ἡ ὑπὸ αεζ, μείζων ἐστὶ τῆς ἐντὸς καὶ ἀπεναντίον γωνίας, τῆς ὑπὸ εζη. ἀλλὰ καὶ ἴση. ὅπερ ἐστὶν ἀδύνατον. οὐκ ἄρα αἱ αβ, γδ ἐκβαλλόμεναι: συμπεσοῦνται, ἐπὶ τὰ

β, δ,

β, δ, μέρη. Ομοίως δὴ δειχθήσεται, ὅτι οὐδὲ ἐπὶ τὰ αγ, αἱ δὲ ἐπὶ μηδέτερα τὰ μέρη συμπίπτουσι: παράλληλοί εἰσι. παράλληλος ἄρα ἐστὶν ἡ αβ, τῇ γδ. (Συμπέρασμα.) Εὰν ἄρα εἰς δύο εὐθείας, εὐθεῖα ἐμπίπτουσα τὰς ἐναλλὰξ γωνίας ἴσας ἀλλήλαις ποιῇ: παράλληλοι ἔσονται αἱ εὐθεῖαι. ὅπερ ἔδει δεῖξαι.

Πρότασις κη. θεώρημα.

ΕΑν εἰς δύο εὐθείας: εὐθεῖα ἐμπίπτουσα, τὴν ἐκτὸς γωνίαν, τῇ ἐντὸς καὶ ἀπεναντίον, καὶ ἐπὶ τὰ αὐτὰ μέρη ἴσην ποιῇ: ἢ τὰς ἐντὸς, καὶ ἐπὶ τὰ αὐτὰ μέρη, δυσὶν ὀρθαῖς ἴσας ποιῇ: παράλληλοι ἔσονται ἀλλήλαις αἱ εὐθεῖαι.



Εκθεσις.) Εἰς γὰρ δύο εὐθείας τὰς αβ, γδ: εὐθεῖα ἐμπίπτουσα ἡ εζ: τὴν ἐκτὸς γωνίαν, τὴν ὑπὸ εηβ, τῇ ἐντὸς καὶ ἀπεναντίον γωνίᾳ: τῇ ὑπὸ ηθδ, ἴσην ποιείτω: ἢ τὰς ἐντὸς, καὶ ἐπὶ τὰ αὐτὰ μέρη: τὰς ὑπὸ βηθ, ηθδ, δυσὶν ὀρθαῖς ἴσας. (Διορισμός.) Λέγω ὅτι παράλληλός ἐστιν ἡ αβ, τῇ γδ.

(Απ-

(Ἀπόδειξις.) Ἐπεὶ γὰρ ἴση ἐστὶν ἡ ὑπὸ εηθ, τῇ ὑπὸ ηθδ· ἀλλὰ ἡ ὑπὸ εηβ, τῇ ὑπὸ αηθ ἐστὶν ἴση. καὶ ἡ ὑπὸ αηθ ἄρα, τῇ ὑπὸ ηθδ ἐστὶν ἴση. καὶ εἰσὶν ἐναλλάξ. παράλληλος ἄρα ἐστὶν ἡ αβ, τῇ γδ. Πάλιν ἐπεὶ αἱ ὑπὸ βηθ, ηθδ· δύσιν ὀρθαῖς ἴσαι εἰσίν· εἰσὶ δὲ καὶ αἱ ὑπὸ αηθ, βηθ δυσὶν ὀρθαῖς ἴσαι. αἱ ἄρα ὑπὸ αηθ, βηθ· ταῖς ὑπὸ βηθ, ηθδ, ἴσαι εἰσί. κοινὴ ἀφῃρήσθω ἡ ὑπὸ βηθ. λοιπὴ ἄρα, ἡ ὑπὸ αηθ· λοιπῇ τῇ ὑπὸ ηθδ ἐστὶν ἴση. καὶ εἰσὶν ἐναλλάξ. παράλληλος ἄρα ἐστὶν ἡ αβ, τῇ γδ. (Συμπέρασμα.) Ἐὰν ἄρα εἰς δύο εὐθείας, εὐθεῖα ἐμπίπτουσα· τὴν ἐκτὸς γωνίαν τῇ ἐντὸς καὶ ἀπεναντίον, καὶ ἐπὶ τὰ αὐτὰ μέρη ἴσην ποιῇ· ἢ τὰς ἐντὸς καὶ ἐπὶ τὰ αὐτὰ μέρη δυσὶν ὀρθαῖς ἴσας· παράλληλοι ἔσονται αἱ εὐθεῖαι. ὅπερ ἔδει δεῖξαι.

Πρότασις κθ. θεώρημα.

Ἡ εἰς τὰς παραλλήλους εὐθείας, εὐθεῖα ἐμπίπτουσα· τάς τε ἐναλλὰξ γωνίας, ἴσας ἀλλήλαις ποιεῖ· καὶ τὴν ἐκτὸς, τῇ ἐντὸς καὶ ἀπεναντίον, καὶ ἐπὶ τὰ αὐτὰ μέρη, ἴσην· καὶ τὰς ἐντὸς, καὶ ἐπὶ τὰ αὐτὰ μέρη, δυσὶν ὀρθαῖς

Ἐκθε-



Ἔκθεσις.) Εἰς γὰρ παραλλήλους εὐθείας τὰς αβ, γδ· εὐθεῖα ἐμπιπτέτω, ἡ εζ. (Διορισμός.) Λέγω ὅτι τάς τε ἐναλλὰξ γωνίας, τὰς ὑπὸ αηθ, ηθδ ἴσας ποιεῖ· καὶ τὴν ἐκτὸς γωνίαν τὴν ὑπὸ εηβ, τῇ ἐντὸς καὶ ἀπεναντίον καὶ ἐπὶ τὰ αὐτὰ μέρη τῇ ὑπὸ ηθδ ἴσην· καὶ τὰς ἐντὸς, καὶ ἐπὶ τὰ αὐτὰ μέρη τὰς ὑπὸ βηθ, ηθδ, δυσὶν ὀρθαῖς ἴσας. (Ἀπόδειξις μετὰ τῆς ὑποθέσεως.) Εἰ γὰρ ἄνισός ἐστιν ἡ ὑπὸ αηθ, τῇ ὑπὸ ηθδ· μία αὐτῶν μείζων ἐστίν. ἔστω μείζων ἡ ὑπὸ αηθ. καὶ ἐπεὶ μείζων ἐστὶν ἡ ὑπὸ αηθ, τῆς ὑπὸ ηθδ· κοινὴ προσκείσθω ἡ ὑπὸ βηθ. αἱ ἄρα ὑπὸ αηθ, βηθ· τῶν ὑπὸ βηθ, ηθδ, μείζονές εἰσιν. ἀλλὰ καὶ αἱ ὑπὸ αηθ, βηθ· δυσὶν ὀρθαῖς ἴσαι εἰσίν. καὶ αἱ ἄρα ὑπὸ βηθ, ηθδ· δύο ὀρθῶν ἐλάσσονές εἰσιν. αἱ δὲ ἀπ' ἐλασσόνων ἢ δύο ὀρθῶν, ἐκβαλλόμεναι εἰς ἄπειρον· συμπίπτουσιν. αἱ ἄρα αβ, γδ, ἐκβαλλόμεναι, εἰς ἄπειρον, συμπεσοῦνται. οὐ συμπίπτουσι δὲ, διὰ τὸ παραλλήλους αὐτὰς ὑποκεῖσθαι. οὐκ ἄρα ἄνισός ἐστιν ἡ ὑπὸ αηθ· τῇ

ὑπὸ

ὑπὸ ηθδ. ἴση ἄρα. ἀλλὰ ἡ ὑπὸ αηθ: τῇ ὑπὸ εηβ ἐστὶν ἴση. καὶ ἡ ὑπὸ εηβ ἄρα, τῇ ὑπὸ ηθδ ἐστὶν ἴση. κοινὴ προσκείσθω, ἡ ὑπὸ βηθ. αἱ ἄρα ὑπὸ εηβ, βηθ: ταῖς ὑπὸ βηθ, ηθδ ἴσαι εἰσίν. ἀλλὰ αἱ ὑπὸ εηβ, βηθ, δυσὶν ὀρθαῖς ἴσαι εἰσί. καὶ αἱ ὑπὸ βηθ, ηθδ ἄρα, δύσιν ὀρθαῖς ἴσαι εἰσίν. (Συμπέρασμα.) Ἡ ἄρα εἰς τὰς παραλλήλους εὐθείας, εὐθεῖα ἐμπίπτουσα, τάς τε ἐναλλὰξ γωνίας: ἴσας ἀλλήλαις ποιεῖ: καὶ τὴν ἐκτὸς, τῇ ἐντὸς καὶ ἀπεναντίον, καὶ ἐπὶ τὰ αὐτὰ μέρη ἴσην: καὶ τὰς ἐντὸς, καὶ ἐπὶ τὰ αὐτὰ μέρη: δυσὶν ὀρθαῖς ἴσας. ὅπερ ἔδει δεῖξαι.

Πρότασις λ. θεώρημα.

Αἱ τῇ αὐτῇ εὐθείᾳ παράλληλοι: καὶ ἀλλήλαις εἰσὶ παράλληλοι.



Ἔκθεσις.) Ἔστω ἑκατέρα τῶν αβ, γδ: τῇ εζ, παράλληλος. Διορισμός.) Λέγω ὅτι καὶ ἡ αβ: τῇ γδ ἐστὶ παράλληλος. (Κατασκευή.) Ἐμπιπτέτω γὰρ εἰς αὐτὰς εὐθεῖα ἡ ηκ. (Ἀπόδειξις.)

Καὶ

Καὶ ἐπεὶ εἰς παραλλήλους εὐθείας τὰς αβ, εζ· εὐθεῖα ἐμπέπτωκεν, ἡ ηκ. ἴση ἄρα ἡ ὑπὸ αηθ· τῇ ὑπὸ ηθζ. πάλιν ἐπεὶ εἰς τὰς παραλλήλους εὐθείας τὰς εζ, γδ· εὐθεῖα ἐμπέπτωκεν ἡ ηκ. ἴση ἐστὶν ἡ ὑπὸ ηθζ, τῇ ὑπὸ ηκδ. ἐδείχθη δὲ καὶ ἡ ὑπὸ αηκ· τῇ ὑπὸ ηθζ ἴση. καὶ ἡ ὑπὸ αηκ ἄρα, τῇ ὑπὸ ηκδ ἐστὶν ἴση· καί εἰσιν ἐναλλάξ. παράλληλος ἄρα ἐστὶν ἡ αβ, τῇ γδ. (Συμπέρασμα.) Αἱ ἄρα τῇ αὐτῇ εὐθείᾳ παράλληλοι· καὶ ἀλλήλαις εἰσὶ παράλληλοι, ὅπερ ἔδει δεῖξαι.

Πρότασις λα. Πρόβλημα.

Ἀπὸ τοῦ δοθέντος σημείου· τῇ δοθείσῃ εὐθείᾳ· παράλληλον εὐθεῖαν γραμμὴν ἀγαγεῖν.

Ἔκθεσις.) Ἔστω τὸ μὲν δοθὲν σημεῖον, τὸ α, ἡ δὲ δοθεῖσα εὐθεῖα, ἡ βγ. (Διορισμός.) Δεῖ δὴ διὰ τοῦ α σημείου· τῇ γβ εὐθείᾳ· παράλληλον εὐθεῖαν γραμμὴν ἀγαγεῖν.



(Κατασκευή.) Εἰλήφθω ἐπὶ τῆς βγ τυχὸν σημεῖον τὸ δ· καὶ ἐ-ἐπεζεύχθω ἡ αδ· καὶ συνεστάτω πρὸς τῇ δα εὐθείᾳ· καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ α· τῇ ὑπὸ αδγ γωνίᾳ ἴση ἡ ὑπὸ δαε· καὶ ἐκβεβλήσθω ἐπ' εὐθείας τῇ αε, εὐθεῖα ἡ αζ. (Ἀπόδειξις.) Καὶ ἐπεὶ εἰς δύο εὐθείας τὰς βγ, εζ· εὐθεῖα ἐμπεσοῦσα ἡ αδ· τὰς ἐναλλὰξ γωνίας τὰς ὑπὸ εαδ, αδγ. ἴσας ἀλλήλαις πεποίηκε· παράλληλος ἄρα ἐστὶν ἡ εζ, τῇ βγ. (Συμπέρασμα.) Διὰ τοῦ δοθέντος ἄρα σημείου τοῦ α· τῇ δοθείσῃ εὐθείᾳ τῇ βγ· παράλληλος εὐθεῖα γραμμὴ ἦκται ἡ εαζ. ὅπερ ἔδει ποιῆσαι.

Πρότασις λβ. θεώρημα.

Παντὸς τριγώνου, μιᾶς τῶν πλευρῶν προσεκβληθείσης· ἡ ἐκτὸς γωνία, δυσὶ ταῖς ἐντὸς καὶ ἀπεναντίον ἴση ἐστί· καὶ αἱ ἐντὸς τοῦ τριγώνου τρεῖς γωνίαι· δυσὶν ὀρθαῖς ἴσαι εἰσίν.



(Ἔκθεσις.) Ἔστω τρίγωνον, τὸ αβγ· καὶ προσεκβεβλήσθω αὐτοῦ μία πλευρὰ ἡ βγ, ἐπὶ τὸ δ. (Διορισμός.) Λέγω ὅτι ἡ ἐκτὸς γωνία, ἡ ὑπὸ αγδ· ἴση ἐστὶ δυσὶ ταῖς ἐντὸς καὶ ἀπεναντίον, ταῖς

ὑπὸ

ὑπὸ γαβ, αβγ: καὶ αἱ ἐντὸς τοῦ τριγώνου τρεῖς γωνίαι, αἱ ὑπὸ αβγ, βγα, γαβ: δυσὶν ὀρθαῖς ἴσαι εἰσίν. (Κατασκευή.) Ἤχθω γὰρ διὰ τοῦ γ σημείου, τῇ αβ εὐθείᾳ παράλληλος ἡ γε. (Ἀπόδειξις.) Καὶ ἐπεὶ παράλληλός ἐστιν ἡ αβ, τῇ γε: καὶ εἰς αὐτὰς ἐμπέπτωκεν ἡ αγ. αἱ ἄρα ἐναλλὰξ γωνίαι αἱ ὑπὸ βαγ, αγε ἴσαι ἀλλήλαις εἰσί. πάλιν, ἐπεὶ παράλληλός ἐστιν ἡ αβ, τῇ γε: καὶ εἰς αὐτὰς ἐμπέπτωκεν εὐθεῖα ἡ βδ: ἡ ἐκτὸς γωνία ἡ ὑπὸ εγδ ἴση ἐστὶ τῇ ἐντὸς καὶ ἀπεναντίον, τῇ ὑπὸ αβγ. ἐδείχθη δὲ καὶ ἡ ὑπὸ αγε: τῇ ὑπὸ βαγ ἴση. ὅλη ἄρα ἡ ὑπὸ αγδ ἐκτὸς γωνία, ἴση ἐστὶ δυσὶ ταῖς ἐντὸς, καὶ ἀπεναντίον, ταῖς ὑπὸ βαγ, αβγ. κοινὴ προσκείσθω ἡ ὑπὸ αγβ. αἱ ἄρα ὑπὸ αγδ, αγβ: τρισὶ ταῖς ὑπὸ αβγ, βγα, γαβ, ἴσαι εἰσίν. ἀλλ' αἱ ὑπὸ αγδ, αγβ: δυσὶν ὀρθαῖς ἴσαι εἰσί: καὶ αἱ ὑπὸ αγβ, γβα, αβγ ἄρα, δυσὶν ὀρθαῖς ἴσαι εἰσί. (Συμπέρασμα.) Παντὸς ἄρα τριγώνου, μιᾶς τῶν πλευρῶν προσεκβληθείσης: ἡ ἐκτὸς γωνία, δυσὶ ταῖς ἐντὸς καὶ ἀπεναντίον ἴση ἐστί: καὶ αἱ ἐντὸς τοῦ τριγώνου τρεῖς γωνίαι: δυσὶν ὀρθαῖς ἴσαι εἰσίν. ὅπερ ἔδει δεῖξαι.

Πρότασις λγ. θεώρημα.

ΑΙ τὰς ἴσας τε, καὶ παραλλήλους, ἐπὶ τὰ αὐτὰ μέρη ἐπιζευγνύουσαι, εὐθεῖαι: καὶ αὐταὶ ἴσαι τε καὶ παράλληλοί εἰσιν.

Ἔκθεσις.) Ἔστωσαν ἴσαι τε καὶ παράλληλοι, αἱ αβ, γδ: καὶ ἐπιζευγνύτωσαν αὐτὰς ἐπὶ τὰ αὐτὰ μέρη εὐθεῖαι, αἱ αγ, βδ. (Διορισμός.) Λέγω ὅτι καὶ αἱ αγ, δβ ἴσαι καὶ παράλληλοί εἰσιν. (Κατασκευή.) Ἐπεζεύχθω γὰρ ἡ βγ. (Ἀπόδειξις.) καὶ ἐπεὶ παράλληλός ἐστιν ἡ αβ, τῇ γδ: καὶ εἰς αὐτὰς ἐμπέπτωκεν ἡ βγ: αἱ ἐναλλὰξ ἄρα γωνίαι, αἱ ὑπὸ αβγ, βγδ: ἴσαι ἀλλήλαις εἰσί. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ αβ, τῇ γδ, κοινὴ δὲ ἡ βγ: δύο δὴ αἱ αβ, βγ δυσὶ ταῖς βγ, γδ ἴσαι εἰσί: καὶ γωνία ἡ ὑπὸ αβγ, γωνίᾳ τῇ ὑπὸ βγδ ἴση ἐστίν. βάσις ἄρα ἡ αγ, βάσει τῇ βδ ἐστὶν ἴση: καὶ τὸ αβγ τρίγωνον, τῷ βγδ τριγώνῳ ἴσον ἐστί: καὶ αἱ λοιπαὶ γωνίαι, ταῖς λοιπαῖς γωνίαις ἴσαι ἔσονται, ἑκατέρα ἑκατέρᾳ ὑφ᾽ ἃς αἱ ἴσαι πλευραὶ ὑποτείνουσιν. ἴση ἄρα ἡ ὑπὸ αγβ γωνία: τῇ ὑπὸ γβδ: καὶ ἡ ὑπὸ βαγ: τῇ ὑπὸ γδβ.



καὶ

καὶ ἐπεὶ εἰς δύο εὐθείας τὰς αγ, βδ· εὐθεῖα ἐμπίπτουσα ἡ βγ· τὰς ἐναλλὰξ γωνίας, τὰς ὑπὸ αγβ, γβδ· ἴσας ἀλλήλαις πεποίηκεν. παράλληλος ἄρα ἐστὶν ἡ αγ, τῇ βδ· ἐδείχθη δὲ αὐτῇ καὶ ἴση. (Συμπέρασμα.) Αἱ ἄρα τὰς ἴσας τε καὶ παραλλήλους ἐπὶ τὰ αὐτὰ μέρη ἐπιζευγνύουσαι· καὶ αὐταὶ ἴσαι τε καὶ παράλληλοί εἰσιν. ὅπερ ἔδει δεῖξαι.

Πρότασις λδ. θεώρημα.

ΤΩν παραλληλογράμμων χωρίων, αἱ ἀπεναντίον πλευραί τε καὶ γωνίαι· ἴσαι ἀλλήλαις εἰσί· καὶ ἡ διάμετρος, αὐτὰ δίχα τέμνει.

Ἔκθεσις.) Ἔστω παραλληλόγραμμον, τὸ αγδβ, διάμετρος δὲ αὐτοῦ, ἡ βγ. (Διορισμός.) Λέγω ὅτι τοῦ αγδβ παραλληλογράμμου· αἱ ἀπεναντίον πλευραί τε καὶ γωνίαι, ἴσαι ἀλλήλαις εἰσί. καὶ ἡ βγ, διάμετρος, αὐτὸ δίχα τέμνει. (Ἀπόδειξις.) Ἐπεὶ γὰρ παράλληλός ἐστιν ἡ αβ τῇ γδ· καὶ εἰς αὐτὰς ἐμπέπτωκεν εὐθεῖα ἡ βγ, αἱ ἐναλλὰξ ἄρα γωνίαι αἱ ὑπὸ αβδ, βγδ, ἴσαι ἀλλή-



λαις εἰσί. πάλιν ἐπεὶ παράλληλός ἐστιν ἡ αγ, τῇ βδ, καὶ εἰς αὐτὰς ἐμπέπτωκεν ἡ βγ, αἱ ἐναλλὰξ γωνίαι αἱ ὑπὸ αγϐ, γβδ: ἴσαι ἀλλήλαις εἰσί. δύο δὴ τρίγωνα ἐστὶ τὰ αϐγ, ϐδγ, τὰς δύο γωνίας τὰς ὑπὸ αβγ, βγα: δυσὶ ταῖς ὑπὸ βγδ, γβδ, ἴσας ἔχοντα ἑκατέραν ἑκατέρα: καὶ μίαν πλευρὰν τῇ μιᾷ πλευρᾷ ἴσην, τὴν πρὸς ταῖς ἴσαις γωνίαις κοινὴν αὐτῶν, τὴν βγ. καὶ τὰς λοιπὰς ἄρα πλευρὰς, ταῖς λοιπαῖς ἴσας ἕξει ἑκατέραν ἑκατέρᾳ: καὶ τὴν λοιπὴν γωνίαν, τῇ λοιπῇ γωνίᾳ. ἴση ἄρα ἡ μὲν αβ πλευρὰ, τῇ γδ: ἡ δὲ αγ, τῇ ϐδ: καὶ ἡ ὑπὸ βαγ γωνία, τῇ ὑπὸ βδγ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ μὲν ὑπὸ αβγ γωνία, τῇ ὑπὸ βγδ: ἡ δὲ ὑπὸ γβδ, τῇ ὑπὸ αγβ. ὅλη ἄρα ἡ ὑπὸ αβδ, ὅλῃ τῇ ὑπὸ αγδ ἴση ἐστίν. ἐδείχθη δὲ καὶ ἡ ὑπὸ ϐαγ, τῇ ὑπὸ ϐδγ ἴση. (Συμπέρασμα.) Τῶν ἄρα παραλληλογράμμων χωρίων, αἱ ἀπεναντίον πλευραί τε καὶ γωνίαι, ἴσαι ἀλλήλαις εἰσίν. (Διορισμὸς δεύτερος.) Λέγω δὲ ὅτι, καὶ ἡ διάμετρος αὐτὰ δίχα τέμνει. (Δευτέρα ἀπόδειξις.) Ἐπεὶ γὰρ ἴση ἐστὶν ἡ αβ, τῇ γδ: κοινὴ δὲ ἡ βγ: δύο δὴ αἱ αβ, βγ, δυσὶ ταῖς γδ, ϐγ ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ,

καὶ

καὶ γωνία ἡ ὑπὸ αβγ, γωνίᾳ τῇ ὑπὸ βγδ ἴση ἐστὶ. καὶ βάσις ἄρα ἡ αγ, βάσει τῇ δβ ἴση ἐστί· καὶ τὸ αβγ τρίγωνον, τῷ βγδ τριγώνῳ ἴσον ἐστίν. (Συμπέρασμα.) Η ἄρα βγ διάμετρος, δίχα τέμνει τὸ αβγδ παραλληλόγραμμον. ὅπερ ἔδει δεῖξαι.

ΤΟ ΤΡΙΤΟΝ ΜΕΡΟΣ ΤΟΥ-
τοῦ τοῦ στοιχείου.

Πρότασις λε. θεώρημα.

ΤΑ παραλληλόγραμμα, τὰ ἐπὶ τῆς αὐτῆς βάσεως ὄντα: καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις: ἴσα ἀλλήλοις ἐστίν.

Εκθεσις.) Εστω παραλληλόγραμμα τὰ αβγδ, εβζγ: ἐπὶ τῆς αὐτῆς βάσεως ὄντα τῆς βγ: καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ταῖς αζ, βγ. (Διορισμός.) Λέγω ὅτι ἴσον ἐστὶ τὸ αβγδ, τῷ εβζγ.



(Απόδειξις.) Επεὶ γὰρ παραλληλόγραμμόν ἐστι τὸ αβγδ: τῇ βγ, ἴση ἐστὶν ἡ αδ. διὰ ταὐτὰ δὴ καὶ ἡ εζ: τῇ βγ ἴση ἐστίν· ὥστε καὶ ἡ αδ:

τῇ εζ ἴση ἐστὶ. καὶ κοινὴ ἡ δε. ὅλη ἄρα ἡ αε: ὅλη τῇ δζ ἐστὶν ἴση. ἐστὶ δὲ καὶ ἡ αβ, τῇ δγ ἴση. δύο δὴ αἱ εα, αβ, δυσὶ ταῖς ζδ, δγ, ἴσαι εἰσὶν ἑκάτερα ἑκατέρᾳ: καὶ γωνία ἡ ὑπὸ ζδγ, γωνίᾳ τῇ ὑπὸ εαβ ἴση ἐστὶν: ἡ ἐκτὸς τῇ ἐντός. βάσις ἄρα ἡ εβ, βάσει τῇ ζγ ἴση ἐστί: καὶ τὸ εαβ τρίγωνον τῷ ζδγ τριγώνῳ ἴσον ἐστὶ. κοινὸν ἀφῃρήσθω τὸ δηε. λοιπὸν ἄρα τὸ αβηδ τραπέζιον: λοιπῷ τῷ εηγζ τραπεζίῳ, ἴσον ἐστί. κοινὸν προσκείσθω τὸ ηβγ τρίγωνον. ὅλον ἄρα τὸ αβγδ παραλληλόγραμμον: ὅλῳ τῷ εβζγ παραλληλογράμμῳ, ἴσον ἐστὶ. (Συμπέρασμα.) Τὰ ἄρα παραλληλόγραμμα, τὰ ἐπὶ τῆς αὐτῆς βάσεως ὄντα: καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις: ἴσα ἀλλήλοις ἐστίν. ὅπερ ἔδει δεῖξαι.

Πρότασις λς, θεώρημα.

Τὰ παραλληλόγραμμα, τὰ ἐπὶ τῶν ἴσων βάσεων ὄντα: καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις: ἴσα ἀλλήλοις ἐστίν.

Ἔκθεσις.) Ἔστω παραλληλόγραμμα τὰ αβγδ, εζηθ: ἐπὶ ἴσων βάσεων, τῶν βγ, ζη: καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ταῖς αθ, βη. (Διορισμός.) Λέγω ὅτι ἴσον ἐστὶ τὸ αβγδ παραλ-



παραλληλόγραμμον, τῷ εζηθ. (Κατασκευή.) Ἐπεζεύχθωσαν γὰρ αἱ βε, γθ. (Ἀπόδειξις.) Καὶ ἐπεὶ ἴση ἐστὶν ἡ βγ τῇ ζη: ἀλλὰ καὶ ἡ ζη, τῇ εθ ἐστὶν ἴση. καὶ ἡ βγ ἄρα, τῇ εθ ἐστὶν ἴση. εἰσὶ δὲ παράλληλοι, καὶ ἐπιζευγνύουσιν αὐτὰς αἱ βε, γθ. αἱ δὲ τὰς ἴσας τε καὶ παραλλήλους ἐπὶ τὰ αὐτὰ μέρη ἐπιζευγνύουσαι: ἴσαι τε καὶ παράλληλοί εἰσι. καὶ αἱ εβ, γθ ἄρα ἴσαι τέ εἰσι, καὶ παράλληλοι. παραλληλόγραμμον ἄρα ἐστὶ, τὸ εβγθ: καὶ ἔστιν ἴσον τῷ αβγδ. βάσιν τε γὰρ αὐτῷ τὴν αὐτὴν ἔχει τὴν βγ, καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ἐστὶ αὐτῷ, ταῖς βγ, αθ. Διὰ τὰ αὐτὰ δὴ καὶ τὸ ζηθε: τῷ αὐτῷ, τῷ εβγθ, ἐστὶν ἴσον. ὥστε καὶ τὸ αβγδ παραλληλόγραμμον, τῷ εζηθ ἴσον ἐστί. (Συμπέρασμα.) Τὰ ἄρα παραλληλόγραμμα τὰ ἐπὶ τῶν ἴσων βάσεων ὄντα, καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις: ἴσα ἀλλήλοις ἐστίν. ὅπερ ἔδει δεῖξαι.

Πρότασις λζ. Θεώρημα.

Τὰ τρίγωνα, τὰ ἐπὶ τῆς αὐτῆς βάσεως ὄντα· καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις· ἴσα ἀλλήλοις ἐστίν.



Ἔκθεσις.) Ἔστω τρίγωνα τὰ αβγ, δβγ, ἐπὶ τῆς αὐτῆς βάσεως ὄντα τῆς βγ· καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις, ταῖς αδ, βγ. (Διορισμός.) Λέγω ὅτι ἴσον ἐστὶ τὸ αβγ τρίγωνον, τῷ δβγ τριγώνῳ. (Κατασκευή.) Ἐκβεβλήσθω ἡ αδ ἐφ' ἑκάτερα τὰ μέρη, ἐπὶ τὰ ε, ζ σημεῖα· καὶ διὰ μὲν τοῦ β, τῇ γα παράλληλος ἤχθω ἡ βε· διὰ δὲ τοῦ γ, τῇ βδ παράλληλος ἤχθω ἡ γζ. (Ἀπόδειξις.) Παραλληλόγραμμον ἄρα ἐστὶν ἑκάτερον τῶν εβαγ, δβγζ. καὶ ἴσον τὸ εβγα, τῷ δβγζ. ἐπί τε γὰρ τῆς αὐτῆς βάσεώς ἐστι τῆς βγ· καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ταῖς βγ, εζ. καὶ ἔστι τοῦ μὲν εβγα παραλληλογράμμου ἥμισυ τὸ αβγ τρίγωνον. ἡ γὰρ αβ διάμετρος αὐτὸ δίχα τέμνει. τοῦ δὲ δβγζ παραλληλογράμμου, ἥμισυ τὸ δβγ τρίγωνον. ἡ γὰρ δγ διάμετρος αὐτὸ δίχα τέμνει. τὰ δὲ τῶν ἴσων ἡμίση· ἴσα ἀλλήλοις ἐστίν. ἴσον ἄρα ἐστὶ τὸ αβγ

τρίγω-

τρίγωνον, τῷ δβγ τριγώνῳ. (Συμπέρασμα.) Τὰ ἄρα τρίγωνα, τὰ ἐπὶ τῆς αὐτῆς βάσεως ὄντα: καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ἴσα ἀλλήλοις ἐστίν. ὅπερ ἔδει δεῖξαι.

Πρότασις λη. θεώρημα.

ΤΑ τρίγωνα, τὰ ἐπὶ τῶν ἴσων βάσεων ὄντα: καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις: ἴσα ἀλλήλοις ἐστίν.



Ἔκθεσις.) Ἔστω τρίγωνα τὰ αβγ, δεζ: ἐπὶ ἴσων βάσεων ὄντα, τῶν βγ, εζ: καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις, ταῖς βζ, δα. (Διορισμός.) Λέγω ὅτι ἴσον ἐστὶ τὸ αβγ τρίγωνον, τῷ δεζ τριγώνῳ. (Κατασκευή.) Ἐκβεβλήσθω γὰρ ἡ αδ ἐφ' ἑκάτερα τὰ μέρη, ἐπὶ τὰ η, θ: καὶ διὰ μὲν τοῦ β, τῇ γα παράλληλος ἤχθω, ἡ βη: διὰ δὲ τοῦ ζ, τῇ δε παράλληλος ἤχθω ἡ ζθ. (Ἀπόδειξις.) Παραλληλόγραμμον ἄρα ἐστὶν ἑκάτερον τῶν ηβγα, δεζθ: καὶ ἴσον τὸ ηβγα, τῷ δεζθ. ἐπί τε γὰρ ἴσων βάσεών ἐστι τῶν βγ, εζ: καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ταῖς βζ, ηθ.

ηθ. καὶ ἐστι τοῦ μὲν ηβγα παραλληλογράμμου, ἥμισυ, τὸ αβγ τρίγωνον. ἡ γὰρ αβ διάμετρος, δίχα αὐτὸ τέμνει. τοῦ δὲ δεζθ, παραλληλογράμμου, ἥμισυ τὸ ζεδ τρίγωνον· ἡ γὰρ ζδ, διάμετρος δίχα αὐτὸ τέμνει. τὰ δὲ τῶν ἴσων ἡμίσυ ἴσα ἀλλήλοις ἐστίν. ἴσον ἄρα ἐστὶ τὸ αβγ τρίγωνον, τῷ δεζ τριγώνῳ. (Συμπέρασμα.) Τὰ ἄρα τρίγωνα, τὰ ἐπὶ τῶν ἴσων βάσεων ὄντα: καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις: ἴσα ἀλλήλοις ἐστί. ὅπερ ἔδει δεῖξαι.

Πρότασις λθ. θεώρημα.

ΤΑ ἴσα τρίγωνα, τὰ ἐπὶ τῆς αὐτῆς βάσεως ὄντα: καὶ ἐπὶ τὰ αὐτὰ μέρη: καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ἐστίν.

Ἔκθεσις.) Ἔστω τρίγωνα ἴσα τὰ αβγ, δβγ, ἐπὶ τῆς αὐτῆς βάσεως ὄντα, τῆς βγ. (Διορισμός.) Λέγω ὅτι καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ἐστίν. (Κατασκευή.) Ἐπεζεύχθω γὰρ ἡ αδ. (Διορισμὸς τῆς κατασκευῆς.) Λέγω ὅτι παράλληλός ἐστιν ἡ αδ, τῇ γβ. (Ὑπόθεσις.) Εἰ γὰρ μή, ἤχθω



ἤχθω διὰ τοῦ α σημείου, τῇ βγ εὐθείᾳ παράλληλος ἡ αε: καὶ ἐπεζεύχθω ἡ εγ. (Απόδειξις.) Ισον ἄρα ἐστὶ τὸ αβγ τρίγωνον, τῷ εβγ τριγώνῳ. ἐπεί γὰρ τῆς αὐτῆς βάσεώς ἐστιν αὐτῷ τῆς βγ: καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ταῖς βγ, αε. ἀλλὰ τὸ αβγ, τῷ δβγ ἐστὶν ἴσον. καὶ τὸ δβγ ἄρα τρίγωνον, τῷ εβγ ἴσον ἐστίν. τὸ μεῖζον τῷ ἐλάττονι, ὅπερ ἀδύνατον. οὐκ ἄρα παράλληλός ἐστιν ἡ αε, τῇ βγ. Ομοίως δὴ δείξομεν: ὅτι οὐδὲ ἄλλη τις πλὴν τῆς αδ. ἡ αδ ἄρα, τῇ βγ ἐστὶν παράλληλος. (Συμπέρασμα.) Τὰ ἄρα ἴσα τρίγωνα, τὰ ἐπὶ τῆς αὐτῆς βάσεως ὄντα: καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ἐστίν. ὅπερ ἔδει δεῖξαι.

Πρότασις μ. θεώρημα.

ΤΑ ἴσα τρίγωνα, τὰ ἐπὶ τῶν ἴσων βάσεων ὄντα: καὶ ἐπὶ τὰ αὐτὰ μέρη: καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ἐστίν.

Εκθεσις.) Εστω τρίγωνα ἴσα, τὰ αβγ, γδε, ἐπὶ ἴσων βάσεων ὄντα τῶν βγ, γε. (Διορισμός.) Λέγω ὅτι καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ἐστίν. (Κατασκευή.) Επεζεύχθω γὰρ ἡ αδ. (Διορισμὸς τῆς κατασκευῆς.) Λέγω ὅ-

τι πα-



τι παράλληλός ἐστιν ἡ αδ, τῇ βε. (Ὑπόθεσις.) Εἰ γὰρ μή, ἤχθω διὰ τοῦ α, τῇ βε παράλληλος ἡ ζα. καὶ ἐπεζεύχθω ἡ ζε. (Ἀπόδειξις.) Ἴσον ἄρα ἐστὶ τὸ αβγ τρίγωνον, τῷ ζγε τριγώνῳ. ἐπεί τε γὰρ ἴσων βάσεών εἰσι τῶν βγ, γε: καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ταῖς βε, αζ. ἀλλὰ τὸ αβγ τρίγωνον, ἴσον ἐστὶ, τῷ δγε τριγώνῳ. καὶ τὸ δγε τρίγωνον ἄρα, ἴσον ἐστὶ τὸ ζγε τριγώνῳ. τὸ μεῖζον, τῷ ἐλάσσονι: ὅπερ ἀδύνατον. οὐκ ἄρα παράλληλός ἐστιν ἡ αζ, τῇ βε. Ὁμοίως δὴ δείξομεν, ὅτι οὐδὲ ἄλλη τις πλὴν τῆς αδ. ἡ αδ ἄρα τῇ βε παράλληλός ἐστι. (Συμπέρασμα.) Τὰ ἄρα ἴσα τρίγωνα: τὰ ἐπὶ τῶν ἴσων βάσεων ὄντα: καὶ ἐν ταῖς αὐταῖς ἐστὶ παραλλήλοις. ὅπερ ἔδει δεῖξαι.

Πρότασις μα. θεώρημα.

Ἐὰν παραλληλόγραμμον, τριγώνῳ βάσιν τε ἔχῃ τὴν αὐτήν: καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ᾖ: διπλάσιον ἔσται τὸ παραλληλόγραμμον τοῦ τριγώνου.

Ἔκθεσις.) Παραλληλόγραμμον γὰρ τὸ αβ

γδ



γδ, τριγώνῳ τῷ εβγ: βάσιν τε ἐχέτω τὴν αὐτὴν τὴν βγ, καὶ ἐν ταῖς αὐταῖς ἔστω παραλλήλοις ταῖς βγ, αε. (Διορισμός.) Λέγω ὅτι διπλάσιον ἐστὶ τὸ αβγδ, παραλληλόγραμμον, τοῦ βεγ τριγώνου. (Κατασκευή.) Ἐπεζεύχθω γὰρ ἡ αγ. (Ἀπόδειξις.) Ἴσον δή ἐστι τὸ αβγ τρίγωνον, τῷ εβγ τριγώνῳ. ἐπί τε γὰρ τῆς αὐτῆς βάσεώς ἐστιν αὐτῷ, τῆς βγ: καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ταῖς βγ, αε. ἀλλὰ τὸ αβγδ παραλληλόγραμμον: διπλάσιόν ἐστι τοῦ αβγ τριγώνου. ἡ γὰρ αγ διάμετρος αὐτὸ δίχα τέμνει. ὥστε τὸ αβγδ παραλληλόγραμμον, καὶ τοῦ εβγ τριγώνου ἐστὶ διπλάσιον. (Συμπέρ.) Ἐὰν ἄρα παραλληλόγραμμον τριγώνῳ βάσιν τε ἔχει τὴν αὐτὴν: καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ᾖ: διπλάσιόν ἐστι τὸ παραλληλόγραμμον τοῦ τριγώνου. ὅπερ ἔδει δεῖξαι.

Πρότασις μβ. Πρόβλημα.

Τῷ δοθέντι τριγώνῳ, ἴσον παραλληλόγραμμον συστήσασθαι: ἐν τῇ δοθείσῃ εὐθυγράμμῳ γωνίᾳ.

Ἔκθεσις.) Ἔστω τὸ μὲν δοθὲν τρίγωνον, τὸ:

αβγ:



αβγ· ἡ δὲ δοθεῖσα εὐθύγραμμος γωνία, ἡ δ. (Διορισμός.) Δεῖ δὴ τῷ αβγ τριγώνῳ· ἴσον παραλληλόγραμμον συστήσασθαι ἐν ἴσῃ τῇ δ γωνίᾳ εὐθυγράμμῳ. (Κατασκευή.) Τετμήσθω ἡ βγ δίχα κατὰ τὸ ε: καὶ ἐπεζεύχθω ἡ αε· καὶ συνεστάτω πρὸς τῇ εγ εὐθείᾳ: καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ ε: τῇ δ γωνίᾳ, ἴση ἡ ὑπὸ γεζ. καὶ διὰ μὲν τοῦ α: τῇ εγ παράλληλος ἤχθω, ἡ αη: διὰ δὲ τοῦ γ, τῇ ζε παράλληλος ἤχθω ἡ γη. παραλληλόγραμμον ἄρα ἐστὶ, τὸ ζεγη. (Ἀπόδειξις.) Καὶ ἐπεὶ ἴση ἐστὶν ἡ βε τῇ εγ: ἴσον ἐστὶ καὶ τὸ αβε τρίγωνον, τῷ αεγ τριγώνῳ. ἐπί τε γὰρ ἴσων βάσεών ἐστι τῶν βε, εγ: καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ταῖς βγ, αη. διπλάσιον ἄρα ἐστὶ τὸ αβγ τρίγωνον, τοῦ αεγ τριγώνου. ἔστι δὲ καὶ τὸ ζεγη παραλληλόγραμμον, διπλάσιον τοῦ αεγ τριγώνου. βάσιν τε γὰρ αὐτῷ τὴν αὐτὴν ἔχει: καὶ ἐν ταῖς αὐταῖς ἐστὶν αὐτῷ παραλλήλοις. ἴσον ἄρα ἐστὶ τὸ ζεγη παραλληλόγραμμον, τῷ αβγ τριγώνῳ: καὶ ἔχει τὴν ὑπὸ γεζ γωνίαν, ἴσην τῇ δ. (Συμπέραπέρασμαι.) Τῷ ἄρα δοθέντι τριγώνῳ τῷ αβγ: ἴσον παραλληλόγραμμον συνεστάθη τὸ ζεγη: ἐν γωνίᾳ τῇ ὑπὸ ζεγ, ἥ ἐστιν ἴση τῇ δ, ὅπερ ἔδει ποιῆσαι.

Πρότασις μγ. θεώρημα.

ΠΑντὸς παραλληλογράμμου, τῶν περὶ τὴν διάμετρον παραλληλογράμμων: τὰ παραπληρώματα ἴσα ἀλλήλοις ἐστίν.

Ἔκθεσις.) Ἔστω παραλληλόγραμμον, τὸ αβγδ: διάμετρος δὲ αὐτοῦ, ἡ αγ: περὶ τὴν αγ, παραλληλόγραμμα μὲν ἔστω τὰ εθ, ζη: τὰ δὲ λεγόμενα παραπληρώματα, τὰ βκ, κδ. (Διορισμός.) Λέγω ὅτι ἴσον ἐστὶ τὸ βκ παραπλήρωμα τῷ κδ παραπληρώματι. (Ἀπόδειξις.)



Ἐπεὶ γὰρ παραλληλόγραμμόν ἐστι τὸ αβγδ: διάμετρος δὲ αὐτοῦ ἡ αγ: ἴσον ἐστὶ τὸ αβγ τρίγωνον, τῷ αδγ τριγώνῳ. πάλιν ἐπεὶ τὸ εκθα παραλληλόγραμμόν ἐστι: διάμετρος δὲ αὐτοῦ ἡ ακ: ἴσον ἐστὶ τὸ εακ τρίγωνον: τῷ αθκ τριγώνῳ. διὰ τὰ αὐτὰ δὴ, καὶ τὸ κζγ τρίγωνου, τῷ κηγ ἐστὶν ἴσον. ἐπεὶ οὖν τὸ μὲν αεκ τρίγωνον, τῷ αθκ τριγώνῳ ἐστὶν ἴσον, τὸ δὲ κζγ, τῷ κηγ. τὸ αεκ τρίγωνον μετὰ τοῦ κηγ, ἐστὶν ἴσον τῷ αθκ τριγώνῳ, μετὰ τοῦ κζγ τριγώνου. ἔστι δὲ καὶ ὅλον τὸ αβγ τρίγωνον, ὅλῳ τῷ αδγ ἴσον. λοιπῷ ἄρα τῷ κδ παραπληρώματι, ἴσον ἐστὶ, τὸ βκ παραπλήρωμα. (Συμπέρασμα.) Παντὸς ἄρα παραλληλογράμμου, τῶν περὶ τὴν διάμετρον παραλληλογράμμων: τὰ παραπληρώματα: ἴσα ἀλλήλοις ἐστίν. ὅπερ ἔδει δεῖξαι.

Πρότασις μδ. Πρόβλημα.

Παρὰ τὴν δοθεῖσαν εὐθεῖαν: τῷ δοθέντι τριγώνῳ: ἴσον παραλληλόγραμμον παραβαλεῖν: ἐν τῇ δοθείσῃ γωνίᾳ εὐθυγράμμῳ.

Ἔκθεσις. Ἔστω ἡ μὲν δοθεῖσα εὐθεῖα, ἡ αβ: τὸ δὲ δοθὲν τρίγωνον, τὸ γ: ἡ δὲ δοθεῖσα γωνία εὐθύγραμμος, ἡ δ. (Διορισμός.) Δεῖ δὴ παρὰ τὴν δοθεῖσαν εὐθεῖαν τὴν αβ: τῷ δοθέντι τριγώ-

νῳ τῷ

νῳ τῷ γ: ἴσον παραλληλόγραμμον παραβαλεῖν, ἐν ἴσῃ τῇ δ γωνίᾳ. (Κατασκευή.) Συνεστάτω τῷ γ τριγώνῳ: ἴσον παραλληλόγραμμον τὸ βεζη: ἐν γωνίᾳ, τῇ ὑπὸ εβη, ἥ ἐστιν ἴση τῇ δ: καὶ κείσθω ὥστε ἐπ' εὐθείας εἶναι τὴν βε, τῇ αβ: καὶ διήχθω ἡ ζη, ἐπὶ τὸ θ: καὶ διὰ τοῦ α, ὁποτέρᾳ τῶν βη, εζ: παράλληλος ἤχθω ἡ αθ: καὶ ἐπεζεύχθω ἡ θβ. (Ἀπόδειξις:) Καὶ ἐπεὶ εἰς παραλλήλους τὰς αθ, εζ: εὐθεῖα ἐμπέπτωκεν ἡ θζ. αἱ ἄρα ὑπὸ αθζ, θζε γωνίαι: δυσὶν ὀρθαῖς ἴσαι εἰσίν: αἱ ἄρα ὑπὸ βθη, ηζε δύο ὀρθῶν ἐλάσσονές εἰσιν. αἱ δὲ ἀπὸ ἐλασσόνων, ἢ δύο ὀρθῶν: εἰς ἄπειρον ἐκβαλλόμεναι, συμπίπτουσιν. αἱ θβ, ζε, ἄρα ἐκβαλλόμεναι, συμπεσοῦνται. (Κατασκευῆς τὸ ἕτερον μέρος.) Ἐκβεβλήσθωσαν καὶ συμπιπτέτωσαν κατὰ τὸ κ: καὶ διὰ τοῦ κ σημείου, ὁποτέρᾳ τῶν εα, ζθ: παράλληλος ἤχθω ἡ κλ: καὶ ἐκβεβλήσθωσαν αἱ θα, ηβ, ἐπὶ τὰ λ, μ, σημεῖα. (Ἀποδείξεως τὸ ἕτερον μέρος.) Παραλληλόγραμμον ἄρα ἐστὶ τὸ θλκζ: διάμετρος δὲ αὐτοῦ ἡ βκ. περὶ δὲ θκ, παραλληλόγραμμα μὲν, τὰ αη, με: τὰ δὲ λεγόμενα παραπληρώματα λβ, βζ. ἴσον ἄρα ἐστὶ τὸ λβ, τῷ βζ. ἀλλὰ καὶ τὸ βζ, τῷ γ̄ τριγώνῳ ἐστὶν ἴσον. καὶ λβ ἄρα τῷ γ̄, ἐστὶν ἴσον. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ὑπὸ ηβε γωνία τῇ ὑπὸ αβμ· ἀλλὰ ἡ ὑπὸ ηβε, τῇ δ ἐστὶν ἴση· καὶ ἡ ὑπὸ αβμ, τῇ δ γωνίᾳ ἐστὶν ἴση. (Συμπέρασμα.) Παρὰ τὴν δοθεῖσαν ἄρα εὐθεῖαν τὴν αβ· τῷ δοθέντι τριγώνῳ τῷ γ̄· ἴσον παραλληλόγραμμον παραβέβληται τὸ λβ· ἐν γωνίᾳ τῇ ὑπὸ αβμ, ἡ ἐστὶν ἴση τῇ δ̄· ὅπερ ἔδει ποιῆσαι.

Πρότασις με. Πρόβλημα.

ΤΩ δοθέντι εὐθυγράμμῳ, ἴσον παραλληλόγραμμον συστήσασθαι· ἐν τῇ δοθείσῃ εὐθυγράμμῳ γωνίᾳ.



Ἔκθεσις.) Ἔστω τὸ δοθὲν εὐθύγραμμον, τὸ αβγδ· ἡ δὲ δοθεῖσα γωνία εὐθύγραμμος, ἡ ε. (Διορισμός.) Δεῖ δὴ τῷ αβγδ εὐθυγράμμῳ· ἴσον παραλληλόγραμμον συστήσασθαι, ἐν ἴσῃ γωνίᾳ τῇ ε. (Κατασκευή.) Ἐπεζεύχθω γὰρ ἡ δβ· καὶ συνεστάτω τῷ αβδ τριγώνῳ· ἴσον παραλληλόγραμμον, τὸ ζθ· ἐν τῇ ὑπὸ θκζ γωνίᾳ, ἡ ἐ-

στιν

φὶν ἴση τῇ ε͞: καὶ παραβεβλήσθω παρὰ τὴν η͞θ εὐθεῖαν, τῷ δβγ͞ τριγώνῳ: ἴσον παραλληλόγραμμον, τὸ η͞μ, ἐν τῇ ὑπὸ η͞θμ γωνίᾳ, ἥ ἐστιν ἴση τῇ ε͞. (Ἀπόδειξις.) Καὶ ἐπεὶ ἡ ε͞ γωνία, ἑκατέρα τῶν ὑπὸ θκζ, ηθμ͞ ἐστιν ἴση: καὶ ἡ ὑπὸ η͞θμ ἄρα τῇ ὑπὸ θκζ ἐστιν ἴση. κοινὴ προσκείσθω, ἡ ὑπὸ κ͞θη. αἱ ἄρα ὑπὸ ζκθ, κθη: ταῖς ὑπὸ κ͞θη, ηθμ͞, ἴσαι εἰσὶν, ἀλλ' αἱ ὑπὸ κθη͞, η͞θμ δύσιν ὀρθαῖς ἴσαι εἰσὶν. πρὸς δή τινι εὐθείᾳ, τῇ η͞θ: καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ θ: δύο εὐθεῖαι αἱ κ͞θ, θμ͞, μὴ ἐπὶ τὰ αὐτὰ μέρη κείμεναι: τὰς ἐφεξῆς γωνίας δυσὶν ὀρθαῖς ἴσας ποιοῦσιν. ἐπ' εὐθείας ἄρα ἐστὶν ἡ κ͞θ, τῇ θμ͞. καὶ ἐπεὶ εἰς παραλλήλους τὰς κμ͞, ζη͞, εὐθεῖα ἐνέπεσεν ἡ θη: αἱ ἐναλλὰξ ἄρα γωνίαι, αἱ ὑπὸ μθη͞, θκ͞ζ ἴσαι ἀλλήλαις εἰσί. κοινὴ προσκείσθω ἡ ὑπὸ θηλ͞. αἱ ἄρα ὑπὸ μθη͞, θηλ͞, ταῖς ὑπὸ θηζ, θη͞λ, ἴσαι εἰσὶν. ἀλλ' αἱ ὑπὸ μθη͞, θη͞λ, δυσὶν ὀρθαῖς ἴσαι εἰσὶν. καὶ αἱ ὑπὸ θη͞ζ, θη͞λ ἄρα δυσὶν ὀρθαῖς ἴσαι εἰσὶν. ἐπ' εὐθείας ἄρα ἐστὶν ἡ ζη͞, τῇ η͞λ. καὶ ἐπεὶ ἡ κ͞ζ τῇ θη͞, ἴση τε καὶ παράλληλός ἐστιν, ἀλλὰ καὶ ἡ θη͞ τῇ μ͞λ. καὶ ἡ κ͞ζ ἄρα τῇ μ͞λ ἴση τε καὶ παράλληλός ἐστιν: καὶ ἐπιζευγνύουσιν αὐτὰς εὐθεῖαι, ραὶ κμ, ζλ. καὶ αἱ κλ, ζμ, ἴσαι τε ἐ παράλληλοι εἰσί. παραλληλόγραμμον ἄρα ἐςὶ τὸ κζλμ. καὶ ἐπεὶ ἴσον ἐςὶ τὸ μὲν αβδ τρίγωνον, τῷ θζ παραλληλογράμμῳ: τὸ δὲ δβγ τῷ ημ, ὅλον ἄρα τὸ αβγδ εὐθύγραμμον, ὅλῳ τῷ κζλμ παραλληλογράμμῳ, ἴσον ἐςι. (Συμπέρασμα.) Τῷ ἄρα δοθέντι εὐθυγράμμῳ τῷ αβγδ: ἴσον παραλληλόγραμμον συνίσαται τῷ κλμ: ἐν γωνίᾳ τῇ ὑπὸ ζκμ: ἥ ἐστιν ἴση τῇ δοθείσῃ τῇ ε. ὅπερ ἔδει ποιῆσαι.

Πρότασις μϛ. Πρόβλημα.

Ἀπὸ τῆς δοθείσης εὐθείας: τετράγωνον ἀναγράψαι.

Ἔκθεσις. Ἔςω ἡ δοθεῖσα εὐθεία, ἡ αβ. (Διορισμός.) Δεῖ δὴ ἀπὸ τῆς αβ εὐθείας, τετράγωνον ἀναγράψαι. (Κατασκευή.) Ἤχθω τῇ αβ εὐθείᾳ ἀπὸ τοῦ πρὸς αὐτῇ σημείου τοῦ α: πρὸς ὀρθὰς ἡ αγ: καὶ κείσθω τῇ αβ ἴση, ἡ αδ: καὶ διὰ μὲν τοῦ δ σημείου: τῇ αβ παράλληλος ἤχθω, ἡ δε: διὰ δὲ τοῦ β σημείου, τῇ αδ παράλληλος ἤχθω, ἡ βε.



ἡ βε. (Ἀπόδειξις.) Παραλληλόγραμμον ἄρα ἐστὶ τὸ αδεβ. ἴση ἄρα ἐστὶν ἡ μὲν αβ, τῇ δε. ἡ δὲ αδ, τῇ βε. ἀλλὰ καὶ ἡ αβ, τῇ αδ ἐστὶν ἴση. αἱ τέσσαρες ἄρα αἱ βα, αδ, δε, εβ ἴσαι ἀλλήλαις εἰσίν. ἰσόπλευρον ἄρα ἐστὶ τὸ αδεβ παραλληλόγραμμον. (Διορισμὸς δεύτερος) Λέγω δὴ ὅτι καὶ ὀρθογώνιον. (Ἀπόδειξις.) Ἐπεὶ γὰρ εἰς παραλλήλους τὰς αβ, δε εὐθεῖα ἐνέπεσεν ἡ αδ. αἱ ἄρα ὑπὸ βαδ, αδε γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν. ὀρθὴ δὲ ἡ ὑπὸ βαδ. ὀρθὴ ἄρα καὶ ἡ ὑπὸ αδε. τῶν δὲ παραλληλογράμμων χωρίων, αἱ ἀπ᾽ ἐναντίον πλευραί τε καὶ γωνίαι ἴσαι ἀλλήλαις εἰσίν. ὀρθὴ ἄρα καὶ ἑκατέρα τῶν ἀπεναντίον τῶν ὑπὸ αδε, βεδ γωνιῶν. ὀρθογώνιον ἄρα ἐστὶ τὸ αδεβ. ἐδείχθη δὲ καὶ ἰσόπλευρον. (Συμπέρασμα.) Τετράγωνον ἄρα ἐστί: καί ἐστιν ἀπὸ τῆς αβ εὐθείας ἀναγεγραμμένον. ὅπερ ἔδει ποιῆσαι.

Πρότασις μζ. Θεώρημα.

ΕΝ τοῖς ὀρθογωνίοις τριγώνοις, τὸ ἀπὸ τῆς τὴν ὀρθὴν γωνίαν ὑποτεινούσης πλευρᾶς τετράγωνον: ἴσον ἐστί, τοῖς ἀπὸ τῶν τὴν ὀρθὴν γωνίαν περιεχουσῶν πλευρῶν τετραγώνοις.



(Ἔκθεσις.) Ἔστω τρίγωνον ὀρθογώνιον, τὸ αβγ, ὀρθὴν ἔχον τὴν ὑπὸ βαγ. (Διορισμός.) Λέγω ὅτι τὸ ἀπὸ τῆς βγ τετράγωνον, ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν βα, αγ τετραγώνοις. (Κατασκευή.) Ἀναγεγράφθω γὰρ ἀπὸ μὲν τῆς βγ· τετράγωνον, τὸ βδγε· ἀπὸ δὲ τῶν βα, αγ· τὰ ηβ, θγ· καὶ διὰ τοῦ α, ὁποτέρᾳ τῶν βδ, γε, παράλληλος ἤχθω ἡ αλ· καὶ ἐπεζεύχθωσαν αἱ αδ, ζγ. (Ἀπόδειξις.) Καὶ ἐπεὶ ὀρθή ἐστιν ἑκατέρα τῶν ὑπὸ βαγ, βαη γωνιῶν· πρὸς δή τινι εὐθείᾳ, τῇ βα· καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ α· δύο εὐθεῖαι· αἱ αγ, αη· μὴ ἐπὶ τὰ αὐτὰ μέρη κείμεναι· τὰς ἐφεξῆς γωνίας, δύσιν ὀρθαῖς ἴσας ποιοῦσιν, ἐπ' εὐθείας ἄρα ἐστὶν ἡ γα, τῇ αη. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ αβ· τῇ αθ, ἐστὶν ἐπ' εὐθείας· καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ὑπὸ δβγ γωνία, τῇ ὑπὸ ζβα. ὀρθὴ γὰρ ἑκατέρα. κοινὴ προσκείσθω ἡ ὑπὸ αβγ. ὅλη ἄρα ἡ ὑπὸ δβα· ὅλῃ τῇ ὑπὸ ζβγ ἐστὶν ἴση. καὶ ἐπεὶ δύο αἱ δβ, βα· δυσὶ ταῖς βζ, βγ ἴσαι εἰσὶν, ἑκατέρα ἑκατέρᾳ· καὶ γωνία ἡ ὑπὸ δβα, γωνίᾳ τῇ ὑπὸ ζβγ, ἴση ἐστίν.

ἐστίν. βάσις ἄρα ἡ ᾱδ, βάσει τῇ ζγ̄ ἐστὶν ἴση: καὶ τὸ ᾱβδ τρίγωνον, τῷ ζβγ̄ τριγώνῳ ἐστὶν ἴσον: καὶ ἔστι τοῦ μὲν ᾱβδ τριγώνου, διπλάσιον τὸ βλ̄ παραλληλόγραμμον: βάσιν τε γὰρ τὴν αὐτὴν ἔχουσι τὴν ϐδ: καὶ ἐν ταῖς αὐταῖς εἰσὶ παραλλήλοις, ταῖς βδ, ᾱλ. τοῦ δὲ ζβγ̄ τριγώνου: διπλάσιον ἐστὶ τὸ ηϐ τετράγωνον. βάσιν τε γὰρ πάλιν τὴν αὐτὴν ἔχουσι, τὴν ζβ: καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις εἰσί, ταῖς ζβ, η̄γ. τὰ δὲ τῶν ἴσων διπλάσια: ἴσα ἀλλήλοις ἐστί. ἴσον ἄρα ἐστὶ καὶ τὸ βλ̄ παραλληλόγραμμον, τῷ ηβ̄ τετραγώνῳ. Ὁμοίως δὴ ἐπιζευγνυμένων τῶν ᾱε, βη: δειχθήσεται καὶ τὸ γ̄λ παραλληλόγραμμον, ἴσον τῷ θγ̄ τετραγώνῳ. ὅλον ἄρα τὸ δβεγ̄ τετράγωνον: δυσὶ τοῖς ηϐ, θγ̄ τετραγώνοις, ἴσον ἐστί: καὶ ἐστὶ τὸ μὲν ϐδεγ̄ τετράγωνον: ἀπὸ τῆς βγ̄ ἀναγραφέν, τὰ δὲ ηβ, θγ̄: ἀπὸ τῶν ϐᾱ, ᾱδ. τὸ ἄρα ἀπὸ τῆς ϐγ̄ πλευρᾶς τετράγωνον: ἴσον ἐστὶ τοῖς, ἀπὸ τῶν βᾱ, ᾱγ, πλευρῶν τετραγώνοις. Συμπέρασμα. Ἐν ἄρα τοῖς ὀρθογωνίοις τριγώνοις: τὸ ἀπὸ τῆς τὴν ὀρθὴν γωνίαν ὑποτεινούσης πλευρᾶς τετράγωνον, ἴσον ἐστὶ, τοῖς ἀπὸ τῶν τὴν ὀρθὴν περιεχουσῶν πλευρῶν τετραγώνοις. ὅπερ ἔδει δεῖξαι.

Πρότασις μη. θεώρημα.

Ἐὰν τριγώνου, τὸ ἀπὸ μιᾶς τῶν πλευρῶν τετράγωνον ἴσον ᾖ τοῖς ἀπὸ τῶν λοιπῶν τοῦ τριγώνου δύο πλευρῶν τετραγώνοις· ἡ περιεχομένη γωνία, ὑπὸ τῶν λοιπῶν τοῦ τριγώνου δύο πλευρῶν, ὀρθή ἐστι.

Ἔκθεσις.) Τριγώνου γὰρ τοῦ αβγ· τὸ ἀπὸ μιᾶς τῆς βγ πλευρᾶς τετράγωνον ἴσον ἔστω τοῖς ἀπὸ τῶν βα, αγ πλευρῶν τετραγώνοις.



(Διορισμός.) Λέγω ὅτι ὀρθή ἐστιν ἡ ὑπὸ βαγ γωνία. (Κατασκευή.) Ἤχθω γὰρ ἀπὸ τοῦ α σημείου, τῇ αβ πρὸς ὀρθὰς εὐθεῖα, ἡ αδ· καὶ κείσθω τῇ γα, ἴση ἡ αδ καὶ ἐπεζεύχθω ἡ δβ. (Ἀπόδειξις.) Καὶ ἐπεὶ ἴση ἐστὶν ἡ δα, τῇ αγ· ἴσον ἐστὶ, καὶ τὸ ἀπὸ τῆς δα τετράγωνον· τῷ ἀπὸ τῆς αγ τετραγώνῳ. κοινὸν προσκείσθω, τὸ ἀπὸ τῆς αβ τετράγωνον. τὰ ἄρα ἀπὸ τῶν δα, αβ τετράγωνα· ἴσα ἐστὶ, τοῖς ἀπὸ τῶν βα, αγ τετραγώνοις. ἀλλὰ τοῖς μὲν ἀπὸ τῶν δα, αβ· ἴσον ἐστὶ τὸ ἀπὸ τῆς δβ· ὀρθὴ γάρ ἐστιν ἡ ὑπὸ δαβ γωνία· τοῖς δὲ ἀπὸ τῶν αβ, αγ ἴσον ἐστὶ τὸ ἀπὸ

τῆς

πὸ τῆς βγ. ὑπόκειται γάρ. τὸ ἄρα ἀπὸ τῆς δβ τετράγωνον: ἴσον ἐστὶ τῷ ἀπὸ τῆς βγ τετραγώνῳ. ὥστε καὶ πλευρὰ ἡ δβ: τῇ βγ ἐστὶν ἴση. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ αδ τῇ αβ. κοινὴ δὲ ἡ αγ: δύο δὴ αἱ δα, αβ: δυσὶ ταῖς βα, αγ ἴσαι εἰσί: καὶ βάσις ἡ δβ, βάσει τῇ βγ ἐστὶν ἴση. γωνία ἄρα ἡ ὑπὸ δαβ, γωνίᾳ τῇ ὑπὸ βαγ ἐστὶν ἴση. ὀρθὴ δὲ ἡ ὑπὸ δαβ. ὀρθὴ ἄρα καὶ ἡ ὑπὸ βαγ. (Συμπέρασμα.) Ἐὰν ἄρα τριγώνου, τὸ ἀπὸ μιᾶς τῶν πλευρῶν τετράγωνον: ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν λοιπῶν τοῦ τριγώνου δύο πλευρῶν τετραγώνοις: ἡ περιεχομένη γωνία ὑπὸ τῶν λοιπῶν τοῦ τριγώνου πλευρῶν ὀρθή ἐστιν. ὅπερ ἔδει δεῖξαι.

ΤΕΛΟΣ

ΟΝΟΜΑΤΑ

ΕΚ ΤΩΝ ΤΟΥ ΗΡΩΝΟΣ, ΠΕΡΙ τῶν τῆς γεωμετρίας ὀνομάτων.

Ὀνόματα γεωμετρικά.

Σημεῖόν ἐστιν οὗ μέρος οὐθέν: ἢ πέρας ἀδιάστατον: ἢ πέρας γραμμῆς. πέφυκε δὲ διανοίᾳ μόνῃ ἐπιληπτὸν εἶναι: ὡσανεὶ ἀμερές τε καὶ ἀμεγέθες τυγχάνον. Τοιοῦτον οὖν αὐτὸ φασὶν εἶναι: οἷον ἐν χρόνῳ τὸ ἐνεστὸς: καὶ οἷον μονάδα θέσιν ἔχουσαν. Ὅτι μὲν οὖν τῇ οὐσίᾳ, ταυτὸν τῇ μονάδι (ἀδιαίρετα γὰρ ἄμφω, καὶ ἀσώματα, καὶ ἀμέριστα) τῇ δὲ ἐπιφανείᾳ, καὶ τῇ σχέσει διαφέρει δῆλον. ἡ μὲν γὰρ μονὰς ἀρχὴ ἀριθμοῦ: τὸ δὲ σημεῖον τῆς γεωμετρουμένης οὐσίας ἀρχή. ἀρχὴ δὲ κατ' ἔκθεσιν, οὐχ ὡς μέρος τῆς γραμμῆς: ὡς τοῦ ἀριθμοῦ μέρος ἡ μονάς: προεπινοουμένου δὲ αὐτοῦ. κινηθέντος γὰρ ἢ μᾶλλον νοηθέντος ἐν ῥύσει νοεῖται γραμμῆς. ὅτι σημεῖον ἐστὶν γραμμῆς ἀρχὴ ἐπιφάνεια δὲ στερεοῦ σώματος.

Γραμμὴ δέ ἐστι μῆκος ἀπλατές: ἢ τὸ πρῶτον ἐν μεγέθει, τὴν ὑπόστασιν λαμβάνον: ἢ τὸ

ἐν διαἓν διαστατόν τε καὶ διαιρετόν. γίνεται δὲ σημείου ῥυέντος ἄνωθεν κάτω. ἐννοίᾳ τῇ κατὰ τὴν συνέχειαν περιέχεται· καὶ περατοῦται σημείοις· πέρας ἐπιφανείας αὐτὴ γενομένη. λέγοιτο δ' ἂν εἶναι γραμμή· τὸ διαιροῦν ἀπὸ τῆς σκιᾶς τὴν ἡλιακὴν ἀκτῖνα· ἢ ἀπὸ τοῦ πεφωτισμένου μέρους τὴν σκιάν. καὶ ἐν ἱματίῳ ὡς ἐν συνεχεῖ νοουμένῳ, τὸ χωρίζον τὴν πορφύραν ἀπὸ τοῦ ἐρίου καὶ τὸ ἔριον, ἀπὸ τῆς πορφύρας. ἤδη δὲ, κἂν τῇ συνηθείᾳ τῆς γραμμῆς ἔννοιαν ἔχομεν· ὡς μῆκος μόνον ἐχούσης· οὐκέτι δὲ πλάτος ἢ βάθος· λέγομεν γοῦν τὸ τεῖχος ἐστὶ καθ' ὑπόθεσιν πηχῶν ρ̄· οὐκέτι ἀποβλέποντες εἰς τὸ πλάτος, ἢ τὸ πάχος. ἡ ὁδὸς σταδίων. ῡ· τὸ μῆκος μόνον, οὐκέτι δὲ καὶ τὸ πλάτος αὐτῶν πολυπραγμονοῦντες· ὡς γραμμικὴν ἡμῖν εἶναι καὶ τὴν τοιαύτην ἐξαρίθμησιν· αὐλικὰ καὶ εὐθυμετρικὰ καλεῖται.

Τῶν γραμμῶν αἱ μὲν εἰσὶν εὐθεῖαι· αἱ δ' οὔ· καὶ τῶν μὴ εὐθειῶν, αἱ μὲν εἰσὶν κυκλικαὶ περιφερεῖαι ὀνομαζόμεναι, αἱ δὲ καμπύλαι. Εὐθεῖα μὲν οὖν γραμμή ἐστιν· ἥ τις ἐξ ἴσου τοῖς ἐφ' ἑαυτῆς σημείοις κεῖται. ὀρθὴ οὖσα, καὶ οἷον ἐπ' ἄκρον τεταμένη ἐπὶ τὰ πέρατα· ἢ τῆς

δύο

δύο δοθέντων σημείων, ἡ μεταξὺ ἐλαχίστη ἐστὶ τῶν τὰ αὐτὰ πέρατα ἐχουσῶν γραμμῶν. καὶ ἧς πάντα τὰ μέρη, πᾶσι τοῖς μέρεσι, παντοίως ἐφαρμόζειν πέφυκε. καὶ τῶν περάτων μενόντων: καὶ αὐτὴ μένουσα: οἷον ἐν τῷ αὐτῷ ἐπιπέδῳ στρεφομένη: καὶ περὶ τὰ αὐτὰ πέρατα τὸν αὐτὸν ἀεὶ τόπον ἔχουσα. οὔτε δὲ μία εὐθεῖα, οὔτε δύο σχῆμα τελοῦσι. Κυκλικαὶ γραμμαί εἰσι, ὅσαι περὶ ἓν σημεῖον περιφερῶς ἐπ᾽ ἄκρον τεταμέναι: ἢ κύκλους, ἢ μέρη κύκλων ἀποτελοῦσι: μόναι τῶν ἄλλων γραμμῶν σχήματος οὖσαι ποιητικαί. Τῶν δὲ καμπύλων γραμμῶν ἐστὶν μὲν τὸ πλῆθος ἄπειρον: αἱ γὰρ ἐπὶ τὰ αὐτὰ μέρη τὰ κοῖλα ἔχουσιν: αἱ δὲ οὔ. ἐπὶ τὰ αὐτὰ μὲν οὖν κοίλη γραμμή ἐστιν: ὅταν δύο σημείων ληφθέντων αὐτῆς, ὁποίων οὖν: ἡ τὰ σημεῖα ἐπιζευγνύουσα εὐθεῖα: ἤτοι κατ᾽ αὐτῆς πίπτει τῆς γραμμῆς: ἢ ἐντός: ἐκτὸς δὲ μηδέποτε: οὐκ ἐπὶ τὰ αὐτὰ μέρη κοίλη γραμμή ἐστιν ἡ οὐχ οὕτως ἔχουσα. Ἕλιξ δὲ γραμμή ἐστιν ἐν ἐπιπέδῳ μέν, ἐὰν εὐθείας, μένοντος τοῦ ἑτέρου πέρατος: καὶ κινουμένης ἐν τῷ ἐπιπέδῳ ἕως εἰς τὸ αὐτὸ πάλιν ἀποκατασταθῇ: φέρεταί τι σημεῖον, ἀπὸ τοῦ μένοντος πέρατος ὁμοῦ ἀρξαμένου τῇ εὐθείᾳ, καὶ ἡ μὲν ἀπὸ ταύτης τῆς εὐθείας γινομένη γραμμή: κύκλος ἔσται. ἡ δὲ ἀπὸ τοῦ τῆς εὐθείας φερομένου σημείου: ἕλιξ καλεῖται. Ἐὰν παραλληλογράμμου ὀρθογωνίου, μενούσης μιᾶς πλευρᾶς, τῶν περὶ τὴν ὀρθὴν γωνίαν: περιενεχθὲν μὲν τὸ παραλληλόγραμμον: εἰς τὸ αὐτὸ πάλιν ἀποκατασταθῇ ὅθεν ἤρξατο φέρεσθαι: ἅμα δὲ τοῦ παραλληλογράμμου σημεῖόν τι φέρηται κατ᾽ αὐτῆς τῆς μὴ μενούσης παραλλήλου, ἀρξάμενον ἀπὸ τοῦ ἑτέρου πέρατος: τὸ μὲν οὖν περιληφθὲν σχῆμα, ὑπὸ τῆς τοῦ παραλληλογράμμου κινήσεως: καλεῖται κύλινδρος: ἡ δὲ ὑπὸ τοῦ φερομένου σημείου γραμμή: γίνεται ἕλιξ: ἧς πᾶν μέρος, ἐπὶ πᾶν ἐφαρμόζει: ὅταν ἐπὶ τὰ αὐτὰ μέρη τὰ κοῖλα ἔχῃ.

Ἐπιφάνειά ἐστιν ὃ μῆκος, καὶ πλάτος μόνον ἔχει: ἢ πέρας σώματος καὶ τόπου, ἢ τὸ ἐπὶ δύο διαστατὸν μέγεθος: ἢ τὸ παντὸς στερεοῦ καὶ ἐπιπέδου σχήματος: κατὰ δύο διαστάσεις μήκους καὶ πλάτους ἐπιφαινόμενον πέρας. γίνεται δὲ ῥύσει ὑπὸ γραμμῆς, κατὰ πλάτος, ἀπὸ δεξιῶν ἐπ᾽ ἀριστερὰ ῥυείσης. Καὶ νοοῖτο ἂν εἶναι ἐπιφάνεια, σκιαὶ σωμάτων, καὶ πᾶσαι χρόα· καθ' ὃ καὶ χρόας ἐκάλουν, οἱ Πυθαγόρειοι τὰς ἐπιφανείας· νοεῖτο δὲ καὶ καθ' ὃ μίγνυται ὁ ἀὴρ τῇ γῇ· ἢ ἄλλῳ στερεῷ σώματι· ἢ ὁ ἀὴρ ὕδατι· ἢ τὸ ὕδωρ ποτηρίῳ ἢ ἄλλῳ τινὶ δοχείῳ. Ἐπίπεδος ἐπιφάνειά ἐστιν, ἥ τις ἐξ ἴσου ταῖς ἐφ' ἑαυτῆς εὐθείαις κεῖται. ὀρθὴ μὲν διαπεπταμμένως· ἣν ἐπειδὰν δύο σημείων ἅψηται εὐθεῖα· καὶ ὅλη αὐτὴ κατὰ παντὶ τόπον παντοίως ἐφαρμόζεται· τοῦτ' ἐστὶν ἡ κατὰ ὅλην εὐθεῖαν ἐφαρμόζουσα· καὶ ἡ ἐλαχίστη πασῶν τῶν τὰ αὐτὰ πέρατα ἐχουσῶν ἐπιφανειῶν· καὶ ἧς πάντα τὰ μέρη ἐφαρμόζειν πέφυκε. Οὐκ ἐπίπεδοι ἐπιφάνειαί εἰσιν· αἱ μὴ οὕτως ἔχουσαι· τοῦτ' ἐστὶν αἱ μὴ πάντη κατ' εὐθεῖαν φερόμεναι γραμμαί· ἔχουσι δέ τινα ἀνωμαλίαν· καὶ οὐκ ὀρθαὶ δι' ὅλου.

Στερεόν ἐστι σῶμα τὸ μῆκος καὶ πλάτος, καὶ βάθος ἔχον· ἢ τὸ ταῖς τρισὶ διαστάσεσι κεχρημένον. καλοῦνται δὲ στερεὰ σώματα· καὶ οἱ τόποι. σῶμα μὲν οὖν μαθηματικόν ἐστι τὸ τριχῇ διαστατόν· σῶμα δὲ ἁπλῶς τὸ τριχῇ διαστατὸν μετὰ ἀντιτυπίας. περατοῦται δὲ πᾶν στερεὸν ὑπὸ ἐπιφανειῶν. γίνεται ἐπιφανείας ἀπὸ τῶν πρόσω ἐπὶ τὰ ὀπίσω ἐνεχθείσης.

Γωνία

Γωνία ἐστὶ συναγωγὴ πρὸς ἓν σημεῖον: ὑπὸ κεκλασμένης ἐπιφανείας, ἢ γραμμῆς ἀποτελεμένη. κεκλασμένη δὲ λέγεται γραμμή, ἥ τις ἐκβαλλομένη συμπίπτει αὐτὴ καθ᾽ ἑαυτήν. Τῶν δὲ γωνιῶν αἱ μὲν εἰσὶν ἐπίπεδοι: αἱ δὲ στερεαί. καὶ τῶν ἐπιπέδων, ἢ στερεῶν: αἱ μὲν εἰσὶν εὐθύγραμμοι: αἱ δὲ οὔ. Επίπεδος μὲν οὖν ἐστὶ κοινῶς γωνία, ἡ ἐν ἐπιπέδῳ δύο γραμμῶν ἁπτομένων ἀλλήλων, καὶ μὴ ἐπ᾽ εὐθείας κειμένων πρὸς ἀλλήλας τῶν γραμμῶν κλίσις. Εἰσὶ δὲ οὐ συνεχεῖς ἁπτόμεναι ἀλλήλων αἱ γραμμαί: ὅταν ἡ ἑτέρα προσεκβαλλομένη κατὰ τὴν ἑαυτῆς σύνευσιν: μὴ πίπτει κατὰ τῆς ἑτέρας. Καὶ ἄλλως δὲ. Επίπεδός ἐστι γωνία, γραμμῆς ἐν ἐπιπέδῳ πρὸς ἑνὶ σημείῳ κλάσις. ἢ συναγωγὴ, πρὸς ἓν σημεῖον ὑπὸ κεκλασμένης γραμμῆς. ἐπίπεδος δὲ εὐθύγραμμος καλεῖται γωνία: ὅταν αἱ περιέχουσαι αὐτὴν γραμμαὶ εὐθεῖαι ὦσιν. ἐπίπεδος δὲ γωνία ἡ ἐν ἐπιπέδῳ πρὸς ἀλλήλους σύνευσις τῶν γραμμῶν. ἢ γραμμῆς εὐθείας πρὸς ἑνὶ σημείῳ κλάσις. οὕτω γοῦν γλωχῖνας ἐκάλουν οἱ Πυθαγόροι τὰς γωνίας. Τῶν ἐν τοῖς ἐπιπέδοις οὐκ εὐθυγράμμων γωνιῶν πλῆθος ἐστὶν ἄπειρον. τῶν δ' ἐν τοῖς ἐπιπέδοις εὐθυγράμμων γωνιῶν εἴδη ἐστὶ τρία. αἱ μὲν γὰρ ὀρθαὶ, αἱ δὲ ὀξεῖαι, αἱ δὲ ἀμβλεῖαι καλοῦνται. Ὀρθὴ μὲν οὖν ἐστὶ γωνία, ἡ τῇ ἀντικειμένῃ ἴση. ἀντικείμεναι δ' εἰσὶν ἃς ποιεῖ εὐθεῖα ἐπ' εὐθεῖαν σταθεῖσα. ὅταν γὰρ εὐθεῖα ἐπ' εὐθεῖαν σταθεῖσα τὰς ἐφεξῆς γωνίας, ἴσας ἀλλήλας ποιεῖ: ὀρθὴ ἐστὶν, ἑκατέρα τῶν ἴσων γωνιῶν. Ὀξεῖα γωνία ἐστὶν ἡ ἐλάσσων ὀρθῆς. Ἀμβλεῖα δὲ ἡ μείζων ὀρθῆς. Ὅταν γὰρ εὐθεῖα, ἐπ' εὐθεῖαν σταθεῖσα γωνίας ἀνίσους ποιῇ ἡ μὲν ἐλάττω καλεῖται ὀξεῖα: ἡ δὲ μείζων ἀμβλεῖα. Πᾶσα μὲν οὖν ὀρθὴ, πάσῃ ὀρθῇ ἐστὶν ἴση: οὐκέτι δὲ πᾶσα ὀξεῖα, πάσῃ ὀξείᾳ ἐστὶν ἴση: οὐδὲ πᾶσα ἀμβλεῖα, πάσῃ ἀμβλείᾳ ἐστὶν ἴση. Εὐθείας γὰρ ἐπ' εὐθείας σταθείσης, καὶ ἐκκλινάσης ἀπὸ τῆς ὀρθῆς μέχρι τούτου ἐλαττοῦται ἡ ὀξεῖα: ἕως συμπίσωσιν αὗται αἱ εὐθεῖαι: καὶ ἐφίκωνται ἀλλήλων. εὐθείας δὲ ἐπ' εὐθείας σταθείσης, καὶ ἀποκλινάσης ἀπὸ τῆς ὀρθῆς γωνίας μέχρι τούτου μείζων γίνεται ἡ ἀμβλεία: ἕως ἂν ὑπτιάσηται ἡ κάθετος ἐπ' εὐθείας: καὶ συνεχὴς γένηται τῇ ὑποκειμένῃ.

Ἡ γοῦν ὀρθὴ γωνία, καὶ τὸ νῦν, καὶ ἡ μονάς.

ὁμοίως

ὁμοίως ἔχουσιν. ἥτε γὰρ ὀρθὴ γωνία αἰεὶ ἕστηκεν ἡ αὐτὴ μένουσα: τῆς ὀξείας καὶ ἀμβλείας ἐπ' ἄπειρον μεταχινουμένης. ἥ τε μονὰς μὲν, αὐτὴ ἕστηκεν: ὁ δὲ μερισμὸς περὶ αὐτὴν, καὶ ἡ σύνθεσις: καὶ τὸ νῦν δὲ καὶ αὐτὸ ἕστηκεν: ὁ δὲ παρεληλυθὼς, καὶ ὁ μέλλων, ἐπ' ἄπειρον.

Στερεὰ γωνία κοινῶς μὲν ἐστὶν ἐπιφανείας ἐπὶ τὰ αὐτὰ μέρη τὰ κοῖλα ἐχούσης πρὸς ἑνὶ σημείῳ συναγωγή. Καὶ ἄλλως δέ. στερεὰ γωνία ἐστίν: ἡ ὑπὸ πλειόνων ἢ δύο ἐπιπέδων γωνιῶν περιεχομένη. ἡ συναγωγὴ στερεὰ, ὑφ' ἑνὸς σημείου κεκλασμένη ἐπιφάνεια, πρὸς γραμμήν: ἥ τις ἐκβαλλομένη, οὐ συμπίπτει αὐτὴ καθ' ἑαυτῆς. Νοεῖται δὲ ἐκβαλλομένη: ὅταν μὴ φαίνεται μὴ ἐκβαίνουσα ὅλον αὐτῆς τὸ μῆκος. ὁμοίως καὶ ἐπίπεδον ἐκβαλλόμενον νοεῖται. Ἰδίως δὲ εὐθύγραμμοι στερεαὶ γωνίαι καλοῦνται: ὧν αἱ ἐπιφάνειαι αἱ ποιοῦσαι τὰς γωνίας, ὑπὸ γωνιῶν εὐθυγράμμων περιέχονται: ὡς αἱ τῶν πυραμίδων, καὶ αἱ τῶν στερεῶν πολυέδρων, καὶ αἱ τοῦ κύβου. οὐκ εὐθύγραμμοι δὲ, αἱ μὴ οὕτως ἔχουσαι, ὡς αἱ τῶν κώνων.

Σχῆμα ἐστὶ τὸ ὑπό τινος ἢ τινῶν ὅρων πεἐμπεριεχόμενον· ἢ τὸ πέρατι, ἢ πέρασι συγκλειόμενον τοῦτο μὲν οὖν τὸ ἐσχηματισμένον. λέγεται δὲ ἄλλως. σχῆμα, πέρας συγκλεῖον ἀπὸ τοῦ σχηματίζοντος. Εἴρηται δὲ τὸ σχῆμα παρὰ τὸ σῆμα, ὅ ἐστι συγκλειόμενον ἢ συγκλεῖον. Διαφέρει δὲ τὸ περιέχων, πέρατος: πέρας μὲν γὰρ καὶ τὸ σημεῖον: οὔπω δὲ σχήματος ποιητικόν. Ὅροι δὲ σχημάτων εἰσὶν, αἵ τε ἐπιφάνειαι καὶ γραμμαί. κέκληνται δὲ ὅροι παρὰ τὸ ὁρίζειν μέχρι τοῦ τὸ σχῆμα: τοῦτ' ἐστι τὰ τέλη τῶν σχημάτων καὶ τὰ πέρατα δείκνυται. Τῶν δὲ σχημάτων, ἃ μὲν ἐστὶν ἐπίπεδα, ἃ δὲ στερεά: ἐπίπεδα μὲν οὖν ἐστὶ, τὰ ἐν τῷ αὐτῷ ἐπιπέδῳ πάσας ἔχοντα τὰς γραμμάς. στερεὰ δὲ, τὰ μὴ ἐν τῷ αὐτῷ ἐπιπέδῳ πάσας ἔχοντα τὰς γραμμάς. τῶν ἐν ταῖς ἐπιφανείαις σχημάτων, ἃ μὲν ἐστὶν ἀσύνθετα: ἃ δὲ σύνθετα. ἀσύνθετα μὲν οὖν ἐστὶ τὰ μὴ συγκείμενα ἐκ γραμμῶν. σύνθετα δὲ τὰ ἐκ γραμμῶν συγκείμενα: τῶν δὲ συνθέτων σχημάτων, τῶν ἐν ταῖς ἐπιφανείαις: ἃ μὲν ἐστὶν ἐξ ὁμογενῶν σύνθετα: ἃ δὲ ἐξ ἀνομογενῶν. οἷον οἱ λεγόμενοι τομεῖς τῶν κύκλων: καὶ τὰ ἡμικύκλια, καὶ αἱ ἀψῖδες, καὶ τὰ μείζονα τμήματα τῶν κύκλων: λέγοιντο δ᾽ αὖ οἱ μηνίσκοι, καὶ αἱ στεφάναι, καὶ τὰ παραπλήσια.

Κύκλος ἐστὶ τὸ ὑπὸ μιᾶς γραμμῆς περιεχόμενον ἐπίπεδον. τὸ μὲν οὖν σχῆμα καλεῖται κύκλος. ἡ δὲ περιέχουσα αὐτὸ γραμμή, περιφέρεια: πρὸς ἣν ἀφ᾽ ἑνὸς σημείου τῶν ἐντὸς τοῦ σχήματος κειμένων: πᾶσαι αἱ προσπίπτουσαι εὐθεῖαι ἴσαι ἀλλήλαις εἰσίν. Ἐὰν μὲν οὖν ἐν τῷ αὐτῷ ἐπιπέδῳ τὸ σημεῖον ᾖ: κέντρον καλεῖται: ἐὰν δὲ μὴ ᾖ ἐν τῷ αὐτῷ ἐπιπέδῳ πόλος: ὡς ἔχει ἐπὶ τῶν ἐν ταῖς σφαίραις κύκλων. Λέγεται δὲ καὶ ἄλλος κύκλος γραμμή, ἥ τις πρὸς πάντα τὰ μέρη: ἴσα ποιεῖ διαστήματα. γίνεται δὲ κύκλος ἐπ᾽ ἂν εὐθεῖα ἐν τῷ αὐτῷ ἐπιπέδῳ ὑπάρχουσα: μένοντος τοῦ ἑνὸς πέρατος τῷ ἑτέρῳ περιενεχθεῖσα εἰς τὸ αὐτὸ πάλιν ἀποκατασταθῇ: ὅθεν ἤρξατο φέρεσθαι.

Διάμετρος δὲ τοῦ κύκλου ἐστὶν εὐθειά τις, διὰ τοῦ κέντρου ἠγμένη, καὶ περατουμένη ἐφ᾽ ἑκάτερα τὰ μέρη, ὑπὸ τῆς τοῦ κύκλου περιφερείας: ἥ τις καὶ δίχα τέμνει τὸν κύκλον: ἢ εὐθεῖα διὰ τοῦ κέντρου, ἕως τῆς περιφερείας διηγμένη. Ἡμικύκλιον ἐστὶ τὸ περιεχόμενον σχῆμα ὑπό τε τῆς διαμέτρου, καὶ τῆς ἀπολαμβανομένης ὑπ' αὐτῆς περιφερείας: ἢ τὸ ὑπὸ τῆς διαμέτρου τοῦ κύκλου: καὶ περιφερείας περιεχόμενον σχῆμα. Κοινῶς τμῆμα κύκλου ἐστὶν, ἄν τε μεῖζον, ἄν τε ἔλαττον ἡμικυκλίου, τὸ περιεχόμενον σχῆμα, ὑπὸ εὐθείας, καὶ κύκλου περιφερείας. Ἐν τμήματι γωνία ἐστὶν. ὅταν ἐπὶ τῆς περιφερείας τοῦ τμήματος ληφθῇ τι σημεῖον: ἀπὸ δὲ τοῦ σημείου, ἐπὶ τὰ πέρατα τῆς εὐθείας ἐπιζευχθῶσιν εὐθεῖαι, ἡ περιεχομένη γωνία ὑπὸ τῶν ἐπιζευχθεισῶν εὐθειῶν. Τομεὺς δὲ κύκλου ἐστὶ τὸ περιεχόμενον σχῆμα, ὑπὸ δύο μὲν εὐθειῶν, μιᾶς δὲ περιφερείας. ἢ τὸ περιεχόμενον σχῆμα ὑπὸ τῶν τὴν τυχοῦσαν ἐν κύκλῳ, πρὸς τῷ κέντρῳ γωνίαν περιεχουσῶν: καὶ τῆς ἀπολαμβανομένης ὑπ' αὐτῶν περιφερείας. Πᾶσα περιφέρεια, κατὰ μὲν τὴν πρὸς τὸ περιεχόμενον χωρίον νόησιν: κοίλη καλεῖται: κατὰ δὲ τὴν πρὸς τὸ περιέχον κυρτή. Μηνίσκος ἐστὶ τὸ περιεχόμενον σχῆμα ὑπὸ δύο περιφερειῶν ἢ δύο κύκλων μὴ περὶ τὸ αὐτὸ κέντρον ὄντων: ὑπεροχὴ κοίλης καὶ κυρτῆς: ἢ τὸ περιεχόμενον ὑπὸ δύο περιφερειῶν ἐπὶ τὰ αὐτὰ

μέρη

μέρη τὰ κοῖλα ἐχουσῶν. Στεφάνη δ' ἐστὶν τὸ περιεχόμενον σχῆμα ὑπὸ τῶν δύο κυρτῶν περιφερειῶν: ἢ δύο κύκλων περὶ τὸ αὐτὸ κέντρον ὑπεροχή. Πέλεκυς δ' ἐστὶ τὸ περιεχόμενον ὑπὸ τεσσάρων περιφερειῶν: δύο κοίλων, καὶ δύο κυρτῶν. καθόλου δ' εἰπεῖν, ἀπερίληπτον ἐστὶ τὸ πλῆθος τῶν ἐν τοῖς ἐπιπέδοις περιφερῶν σχημάτων: ἔτι γε μᾶλλον τῶν ἐν ταῖς ἐπιφανείαις.

Τῶν ἐν τοῖς ἐπιπέδοις εὐθυγράμμων σχημάτων: ἃ μὲν ἐστὶ τρίγωνα, ἢ τρίπλευρα: ἃ δὲ τετράγωνα, ἢ τετράπλευρα: ἃ δὲ ἐπ' ἄπειρον πολύγωνα ἢ πολύπλευρα. Τρίγωνον ἐστὶ σχῆμα ἐπίπεδον ὑπὸ τριῶν εὐθειῶν περιεχόμενον: τρεῖς ἔχον γωνίας. Τῶν δὲ τριγώνων ἢ τριπλεύρων σχημάτων, τὰ γενικώτατα εἴδη ἐστὶν ἕξ: ἀπὸ μὲν γὰρ τῶν πλευρῶν: ἃ μὲν καλεῖται ἰσόπλευρα, ἃ δὲ ἰσοσκελῆ, ἃ δὲ σκαληνά. ἀπὸ δὲ τῶν γωνιῶν. ἃ μὲν ἐστὶν ὀρθογώνια, ἃ δὲ ὀξυγώνια, ἃ δὲ ἀμβλυγώνια. ἐπὶ μὲν τῶν ὀρθογωνίων, δύο γένη: τό τε ἰσοσκελὲς, καὶ τὸ σκαληνόν. οὐδὲ γὰρ ὀρθογώνιον ἰσόπλευρον: τὰ δ' ἄλλα τρίγωνα τὰ μὴ ὀρθογώνια πλὴν τοῦ ἰσοπλεύρου οὐ δύο μόνον ἔχει φύσεις· ἀλλὰ καὶ ἐπ' ἄπειρον χωρεῖ. Ἰσόπλευρον μὲν οὖν ἐστιν ὅταν τρεῖς ἴσας ἔχει πλευρὰς, ἢ γωνίας. Ἰσοσκελὲς δὲ, ὅταν τὰς δύο μόνας ἴσας ἔχει πλευράς. Σκαληνὰ δὲ ὅσα τὰς τρεῖς ἀνίσους ἔχει πλευράς. Ὀρθογώνιον δέ ἐστι, τὸ μίαν ἔχον ὀρθὴν γωνίαν. ὀξυγώνιον δὲ τὸ τὰς τρεῖς ὀξείας ἔχον. Ἀμβλυγώνιον δὲ τὸ μίαν ἔχον ἀμβλεῖαν γωνίαν. τὰ μὲν οὖν ἰσόπλευρα πάντα ὀξυγώνιά ἐστι. τῶν δὲ ἰσοσκελῶν, καὶ σκαληνῶν· ἃ μὲν ἐστὶ ὀρθογώνια, ἃ δὲ ὀξυγώνια, ἃ δὲ ἀμβλυγώνια.

Τετράπλευρον ἐπίπεδον ἐστὶ σχῆμα, τὸ ὑπὸ τεσσάρων εὐθειῶν περιεχόμενον· τέσσαρας ἔχον γωνίας. Τῶν δὲ τετραπλεύρων σχημάτων, ἃ μέν ἐστι ἰσόπλευρα· ἃ δὲ οὔ. τῶν δὲ ἰσοπλεύρων, ἃ μὲν ὀρθογώνια, ἃ δὲ οὔ. τὰ μὲν οὖν ὀρθογώνια ἰσόπλευρα· τετράγωνα καλεῖται. τὰ δὲ ὀρθογώνια μὲν μὴ ἰσόπλευρα δέ· ἑτερομήκη καλεῖται. τὰ δὲ ἰσόπλευρα μὲν μὴ ὀρθογώνια δέ· ῥόμβοι. τὰ δὲ μήτε ἰσόπλευρα, μήτε ὀρθογώνια, τὰς δὲ ἀπεναντίον πλευράς τε καὶ γωνίας ἴσας ἀλλήλαις ἔχοντα ῥομβοειδῆ καλεῖται. Ἐπὶ τῶν τετρα-

πλεύ-

πλεύρων, ἃ μὲν καλεῖται παραλληλόγραμμα· ἃ δὲ οὐ παραλληλόγραμμα. παραλληλόγραμμα μὲν οὖν τὰ τὰς ἀπεναντίον πλευρὰς παραλλήλους ἔχοντα· οὐ παραλληλόγραμμα δὲ τὰ μὴ οὕτως ἔχοντα. Τῶν δὲ παραλληλογράμμων, ὀρθογώνια ὅσα περιέχεσθαι λέγεται ὑπὸ τῶν τὴν ὀρθὴν γωνίαν περιεχουσῶν εὐθειῶν. ἐστὶ γὰρ μέγιστον τῶν ὑπὸ τῶν ἴσων πλευρῶν περιεχομένων παραλληλόγραμμον, τὸ ἐν ὀρθῇ γωνίᾳ. ἄπειρον γὰρ ἐπινοεῖται. παραλληλόγραμμα δὲ ὅσα ὑπὸ τῶν περιεχομένων πλευρῶν διάφορα κατὰ τὸ ἐμβαδὸν τυγχάνοντα, ἐλάττονα γίνεται· τὸ δὲ ἔχον τὴν ὀρθὴν μέγιστον. Ἐπεὶ οὖν ἐλάττους ἀεὶ ὀξεῖαι εὑρίσκονται· οἱ βουλόμενοι ἀναμετρεῖν τὰ τοιαῦτα σχήματα· ὅρον ὑπόστασιν ἔθεντο, τὸν περὶ τὴν ὀρθὴν γωνίαν λόγον. Παντὸς δὲ παραλληλογράμμου, τῶν περὶ τὴν διάμετρον αὐτοῦ παραλληλογράμμων· ἓν ὁποιονοῦν, σὺν τοῖς δυσὶ παραπληρώμασι, γνώμων καλεῖται. Καθόλου δὲ γνώμων ἐστὶν πᾶν ὃ προσλαβὸν ὁποιοῦν ἀριθμὸν ἢ σχῆμα ποιεῖ τὸ ὅλον ὅμοιον ὃ προσείληφεν. Τῶν παρὰ τὰ εἰρημένα τετραπλεύρων ἃ μὲν τραπέζια λέγεται, ἃ δὲ τραπεζοειδῆ. τραπέζια μὲν οὖν ἐστὶν ὅσα μόνον δύο παραλλήλους ἔχει πλευράς: τραπεζοειδῆ ὅσα μὴ ἔχει παραλλήλους πλευράς. Τῶν δὲ τραπεζίων ἃ μὲν ἐστὶν ἰσοσκελῆ, ἃ δὲ σκαληνά: ἰσοσκελῆ μὲν οὖν ἐστὶν, ὅσα ἴσας ἔχει τὰς μὴ παραλλήλους. Σκαληνὰ δὲ ὅσα ἀνίσους ἔχει τὰς μὴ παραλλήλους.

Πολύπλευρα ἐπίπεδα σχήματα ἐστὶ τὰ ὑπὸ πλειόνων ἢ τεσσάρων εὐθειῶν περιεχόμενα. οἷον πενταγώνια, καὶ τὰ ἑξῆς πολύγωνα ἐπ' ἄπειρον προϊόντα.

Βάσις λέγεται ἐπιπέδου χωρίου γραμμὴ ἡ ὡσανεὶ κάτω νοουμένη. πλευρὰ δὲ μία τῶν τὸ σχῆμα περικλειουσῶν. Διαγώνιος δὲ ἡ ἀπὸ γωνίας εἰς γωνίαν ἀγομένη εὐθεῖα. Κάθετος δὲ ἐστὶν ἡ ἀπὸ σημείου εὐθεῖα ἐπ' εὐθεῖαν ἠγμένη. Κάθετος δὲ πρὸς ὀρθὰς λέγεται, ἡ ὀρθὰς ποιοῦσα τὰς ἐφεξῆς γωνίας τῇ ἐφεστηκυίᾳ εὐθείᾳ. Παράλληλοι δὲ καλοῦνται γραμμαὶ ἀσύμπτωτοι: ὅσαι ἐν τῷ αὐτῷ ἐπιπέδῳ οὖσαι, καὶ ἐκβαλλόμεναι ἐφ' ἑκάτερα τὰ μέρη, ἐπὶ μηδέτερα συμπίπτουσιν ἀλλήλαις: αἳ μήτε συννεύουσαι, μήτε ἀπονεύουσαι ἐν ἐπιπέδῳ: ἴσας δὲ ἔχουσαι τὰς καθέτους πάσας.

τὰς

τὰς ἀγομένας ἀπὸ τῶν τῆς ἑτέρας σημείων ἐπὶ τὴν λοιπήν. Οὐ παράλληλοι δὲ εὐθεῖαι εἰσὶν, ὅσαι συννεύουσι μείζους ἀεὶ τὰς καθέτους ποιοῦσι. Τριγώνου ὕψος καλεῖται, ἡ ἀπὸ τῆς κορυφῆς ἐπὶ τὴν βάσιν κάθετος ἀγομένη.

Ὀνόματα στερεωμετρικά.

Τῶν ἐν τοῖς στερεοῖς σχήμασι ἐπιφανειῶν αἱ μὲν ἀσύνθετοι λέγονται· αἱ δὲ σύνθετοι· ἀσύνθετοι μὲν οὖν τῶν στερεῶν εἰσὶν ὅσαι ἐκβαλλόμεναι αὐταὶ καθ' ἑαυτὰς πίπτουσιν. οἷον ἡ τῆς σφαίρας. σύνθετοι δὲ ὅσαι ἐκβαλλόμεναι, τέμνουσιν ἀλλήλας. τῶν δὲ συνθέτων, αἱ μὲν ἐξ ἀνομογενῶν εἰσὶ σύνθετοι, ὡς αἱ τῶν κώνων, καὶ κυλίνδρων, καὶ τῶν τούτοις ὁμοίων. ἐξ ὁμογενῶν δὲ αἱ τῶν στερεῶν εὐθυγράμμων. καὶ καθ' ἑτέραν δὲ διαίρεσιν τῶν ἐν τοῖς στερεοῖς σχήμασι τῶν ἐπιφανειῶν, αἱ μὲν εἰσὶν ἁπλαῖ, αἱ δὲ μικταί. ἁπλαῖ μὲν οὖν εἰσὶν ἐν τοῖς στερεοῖς ἐπιπέδοις ἡ σφαιρική· μικταὶ δὲ ἥ τε κωνικὴ καὶ κυλινδρική, καὶ αἱ ταύταις ὁμοίαι. αὗται μὲν οὖν μικταὶ ἐξ ἐπιπέδου, καὶ περιφερείας·

ριφερείας· αἱ δὲ σπειρικαί, μικταί εἰσιν ἐκ δύο περιφερειῶν· καὶ ἄλλαι δὲ πλείους εἰσίν, ὥσπερ σύνθετοι, οὕτω καὶ μικταὶ ἄπειροι. Τῶν ἐν τοῖς στερεοῖς σχήμασι γραμμῶν, αἱ μὲν ἁπλαῖ, αἱ δὲ μικταί. ἁπλαῖ μὲν οὖν αἵ τε εὐθεῖαι, καὶ περιφερεῖς· μικταὶ δὲ αἵ τε κωνικαὶ καὶ σπειρικαί. καὶ αὗται μὲν πεπερασμέναι εἰσίν· τῶν δὲ ἀτάκτων, πλῆθος ἄπειρον ἐστὶν ὡς καὶ τῶν συνθέτων.

Σφαῖρα ἐστὶ σχῆμα στερεὸν ὑπὸ μιᾶς ἐπιφανείας περιεχόμενον· πρὸς ἣν ἀφ' ἑνὸς σημείου, τῶν ἐντὸς καὶ μέσον τοῦ σχήματος κειμένων, πᾶσαι αἱ προσπίπτουσαι εὐθεῖαι ἴσαι ἀλλήλαις εἰσίν. ἢ σχῆμα στερεὸν ἄκρως στρόγγυλον, ὥστε ἐκ τοῦ μέσου πάντῃ ἴσας ἔχειν τὰς ἀποστάσεις. ὅταν γὰρ ἡμικυκλίου, μενούσης τῆς διαμέτρου περιενεχθὲν τὸ ἡμικύκλιον εἰς τὸ αὐτὸ πάλιν ἀποκατασταθῇ· ἡ μὲν γινομένη ἐπιφάνεια, ὑπὸ τῆς τοῦ ἡμικυκλίου περιφερείας σφαιρικὴ ἐπιφάνεια καλεῖται, τὸ δὲ περιληφθὲν στερεὸν σχῆμα, σφαῖρα. τὸ δὲ μέσον τῆς σφαίρας κέντρον αὐτῆς καλεῖται. ἐστὶ δὲ ταυτὸ τοῦτο τοῦ ἡμικυκλίου κέντρον. Ἡ δὲ διάμετρος τῆς σφαίρας ἄξων καλεῖται· καὶ ἐστὶν εὐθεῖά τις, διὰ τοῦ κέντρου ἠγμένη,

νη, καὶ

νη, καὶ περατουμένη ἐφ' ἑκάτερα τὰ μέρη τῆς σφαίρας ἀμετακίνητος· περὶ ἣν ἡ σφαῖρα κινεῖται καὶ στρέφεται. Τὰ τοῦ ἄξονος ἄκρα πόλοι καλοῦνται. Ἐὰν δὲ ἡ σφαῖρα τμηθῇ: ἡ τομὴ κύκλος γίνεται. Κύκλου δὲ πόλος ἐν τῇ σφαίρᾳ λέγεται: σημεῖον ἐπὶ τῆς ἐπιφανείας τῆς σφαίρας: ἀφ' οὗ πᾶσαι αἱ προσπίπτουσαι εὐθεῖαι, πρὸς τὴν περιφέρειαν, ἴσαι ἀλλήλαις εἰσίν. Ὥσπερ δὲ τῶν ἐπιπέδων ἰσοπεριμέτρων σχημάτων: μείζων ἐστὶ κύκλος: οὕτως τὸ τῆς σφαίρας σχῆμα πάντων τῶν στερεῶν ἰσοπεριμέτρων μέγιστόν ἐστι, διὸ καὶ περιεκτικὸν τῶν ἄλλων ἁπάντων ἐλαττόνων.

Κῶνος ἐστὶ σχῆμα στερεὸν βάσιν μὲν ἔχον κύκλον: συναγόμενον δὲ ὑφ' ἓν σημεῖον. ἐὰν γὰρ ἀπὸ μετεώρου σημείου ἐπὶ κύκλου περιφερείας: εὐθεῖά τις προσβληθῇ: καὶ περιενεχθεῖσα εἰς τὸ αὐτὸ πάλιν ἀποκατασταθῇ: τὸ ἀπογεννηθὲν σχῆμα κῶνος γίνεται. Καὶ ἄλλως. Ἐὰν ὀρθογωνίου τριγώνου, μενούσης μιᾶς πλευρᾶς, τῶν περὶ τὴν ὀρθὴν γωνίαν, περιενεχθὲν τρίγωνον σχῆμα: εἰς τὸ αὐτὸ πάλιν ἀποκατασταθῇ ὅθεν ἤρξατο φέρεσθαι τὸ περιληφθὲν σχῆμα: ἡ μὲν γινομένη ἀπὸ τῆς ὑποτεινούσης τοῦ τριγώνου πλευρᾶς περιοχὴ: ἐπιφάνεια κωνικὴ καλεῖται: τὸ δὲ περιληφθὲν σχῆμα στερεὸν, κῶνος. Βάσις δὲ κώνου ὁ κύκλος καλεῖται. Κορυφὴ δὲ κώνου τὸ σημεῖον. Ἄξων δὲ κώνου, ἡ ἀπὸ τῆς κορυφῆς, ἐπὶ τὸ κέντρον τοῦ κύκλου ἐπιζευγνυμένη εὐθεῖα· τοῦτ᾽ ἐστὶ ἡ μένουσα. Ἰσοσκελὴς δὲ κῶνος λέγεται, ὁ τοῦ τριγώνου ἴσας ἔχων τὰς πλευράς. Σκαληνὸς δὲ κῶνος ὁ ἄνισος λέγεται. Ὀρθογώνιος δὲ κῶνος ἐστὶν, ἐὰν ἡ μένουσα πλευρὰ, ἴση ᾖ τῇ περιφερομένῃ· ἢ οὗ τμηθέντος διὰ τοῦ ἄξονος, τὸ γινόμενον ἐν τῇ ἐπιφανείᾳ σχῆμα τρίγωνον ὀρθογώνιον γίνεται. Ὀξυγώνιος δὲ κῶνος ἐστὶν οὗ ἡ μένουσα μείζων ἐστὶ τῆς περιφερομένης· ἢ οὗ τμηθέντος τὸ γινόμενον σχῆμα τρίγωνον ὀξυγώνιον γίνεται. Ἀμβλυγώνιος δὲ κῶνος ἐστὶν, οὗ ἡ μένουσα πλευρὰ, ἐλάττων ἐστὶ τῆς περιφερομένης: ἢ οὗ τμηθέντος τὸ γινόμενον ἐν τῇ ἐπιφανείᾳ σχῆμα, τρίγωνον ἀμβλυγώνιον γίνεται. Κόλουρος δὲ κῶνος καλεῖται, ὁ τὴν κορυφὴν κολοβωθεῖσαν ἐσχηκώς. ἡ δὲ ἐπιφάνεια τοῦ κώνου: ἄλλως μὲν κυρτὴ καλεῖται: ἄλλως δὲ κοίλη. Τεμνόμενος δὲ κῶνος διὰ τῆς κορυφῆς τρίγωνα ποιεῖ τὴν τομήν:

τομήν: παραλλήλως δὲ τῇ βάσει τμηθεὶς, κύκλον: μὴ παραλλήλως δὲ τμηθεὶς ἄλλο τι γένος γραμμῆς ὃ καλεῖται κώνου τομή. Τῶν δὲ τοῦ κώνου τομῶν, ἡ μὲν καλεῖται ὀρθογώνιος: ἡ δὲ ἀμβλυγώνιος, ἡ δὲ ὀξυγώνιος. ὀρθογώνιος μὲν οὖν ἡ ἑαυτῇ συνάπτουσα καὶ ποιοῦσα σχῆμα θυρεοειδές: καλεῖται δὲ ὑπό τινων καὶ ἔλλειψις: ἡ δὲ τοῦ ὀρθογωνίου καλεῖται παραβολή: ἡ δὲ τοῦ ἀμβλυγωνίου ὑπερβολή.

Κύλινδρός ἐστι σχῆμα στερεὸν, ὅπερ νοεῖται ἀποτελούμενον, παραλληλογράμμου ὀρθογωνίου, περὶ μίαν τῶν πλευρῶν μένουσαν στραφέντος: καὶ ἀποκατασταθέντος ὅθεν καὶ ἤρξατο φέρεσθαι. ἡ δὲ μένουσα εὐθεῖα περὶ ἣν ἡ στροφὴ, ἄξων λέγεται. αἱ δὲ βάσεις κύκλοι, οἱ γινόμενοι ὑπὸ τῶν ἴσων πλευρῶν τοῦ παραλληλογράμμου. Τομαὶ δὲ κυλίνδρου, αἱ μὲν παραλληλόγραμμα, αἱ δὲ ὀξυγωνίων κώνων γραμμαί. Τέμνεται δὲ στερεὸν μὲν ὑπὸ ἐπιφανείας, ἐπιφάνεια δὲ ὑπὸ γραμμῆς, γραμμὴ δὲ ὑπὸ στιγμῆς. ἐνίοτε δὲ ὑπὸ γραμμῆς λέγεται τέμνεσθαι: κατὰ ἀναφορὰν τὴν ἐπὶ τὴν στιγμήν. καὶ ἐπιφάνεια δὲ ὑπὸ ἐπιφανείας:

νείας· καὶ κατὰ ἀναφορὰν τὴν ἐπὶ τὴν γραμμήν.

Σπεῖρα γίνεται ὅταν κύκλος ἐπὶ κύκλου τὸ κέντρον ἔχων· ὀρθὸς ὢν πρὸς τοῦ κύκλου ἐπίπεδον περιενεχθείς, εἰς τὸ αὐτὸ πάλιν ἀποκατασταθῇ. τὸ δὲ αὐτὸ τοῦτο, καὶ κρίκος καλεῖται. Διεχὴς μὲν οὖν ἐστὶ σπεῖρα ἡ ἔχουσα διάλημμα. συνεχὴς δὲ ἡ καθ' ἓν σημεῖον συμπίπτουσα. ἐπιλάττουσα δέ, καθ' ἣν ὁ περιφερόμενος κύκλος αὐτὸς αὑτὸν τέμνει. γίνονται δὲ καὶ τούτων τομαὶ γραμμαί τινες ἰδιάζουσαι. οἱ δὲ τετράγωνοι κρίκοι, ἐκ πρίσματα εἰσὶ κυλίνδρων. γίνονται δὲ καὶ ἄλλα τινὰ ποικίλα πρίσματα, ἔκ τε σφαιρῶν καὶ ἐκ μικτῶν ἐπιφανειῶν.

Τῶν δὲ εὐθυγράμμων στερεῶν σχημάτων, ἃ μὲν καλεῖται πυραμίδες, ἃ δὲ κύβοι· ἃ δὲ πολύεδρα· ἃ δὲ πρίσματα· ἃ δὲ δοκίδες· ἃ δὲ πλινθίδες ἃ δὲ σφηνίσκοι· καὶ τὰ παραπλήσια. Πυραμὶς μὲν οὖν ἐστὶ σχῆμα στερεὸν ἐπιπέδοις περιεχόμενον· ἀφ' ἑνὸς ἐπιπέδου πρὸς ἑνὶ σημείῳ συνεστατικόν. Καὶ ἄλλως δὲ λέγεται πυραμὶς τὸ ἀπὸ βάσεως τριπλεύρου, ἢ τετραπλεύρου, ἢ πολυγώνου τοῦτ' ἔστιν ἁπλῶς εὐθυγράμμου κατὰ σύνθεσιν

τριγώ-

τριγώνων, εἰς ἓν σημεῖον συναγόμενον σχῆμα. Ἰδίως δὲ ἰσόπλευρος λέγεται πυραμίς, ἡ ὑπὸ τεσσάρων τριγώνων ἰσοπλεύρων περιεχομένη, καὶ γωνιῶν. καλεῖται δὲ τὸ σχῆμα τοῦτο καὶ τετράεδρον. Εἰκοσάεδρον ἐστὶ σχῆμα στερεὸν ὑπὸ εἴκοσι τριγώνων ἰσοπλεύρων περιεχόμενον. Εἰσὶ δὲ πέντε μόνον ταῦτα τὰ ὑπὸ ἴσων καὶ ὁμοίων περιεχόμενα: ἃ δὴ ὑπὸ τῶν ἑλλήνων ὕστερον ἐπονομάσθη πλάτωνος σχήματα: τῶν δὲ πέντε τούτων αἱ πλευραὶ λόγον ἔχουσι πρὸς τὴν σφαῖραν. Εὐκλείδης μὲν οὖν ἐν τῷ ιγ τῶν στοιχείων, ἀπέδειξε, πῶς ἡ σφαῖρα τὰ πέντε ταῦτα σχήματα περιλαμβάνει. μόνα γὰρ τὰ Πλάτωνος οἴεται: Ἀρχιμήδης δὲ τρία καὶ δέκα ὅλα φησὶν εὑρίσκεται σχήματα δυνάμενα ἐγγραφῆναι τῇ σφαίρᾳ, προστεθεὶς ὀκτὼ: μετὰ τὰ εἰρημένα πέντε: ὧν εἰδέναι καὶ πλάτωνα φασὶν. Τὸ τεσσαρές καὶ δεκάεδρον εἶναι τοῦτο διπλοῦν. τὸ μὲν ἐξ ὀκτὼ τριγώνων καὶ τετραγώνων ἕξ. σύνθετον δὲ ἐκ γῆς καὶ ἀέρος. ὅπερ καὶ τῶν ἀρχαίων τινὲς ᾔδεσαν. τὸ δὲ ἕτερον πάλιν ἐκ τετραγώνων μὲν ὀκτὼ τριγώνων δὲ ἓξ ὁ καὶ χαλεπώτερον εἶναι δοκεῖ. καθόλου δὲ τῶν εὐθυγράμμων στερεῶν σχημάτων· ἃ μὲν ἐστὶ πυραμίδες· ἃ δὲ πρίσματα· ἃ δ' οὔτε πυραμίδες, οὔτε πρίσματα· τί μὲν οὖν ἐστὶ πύραμις προείρηται. Οκτάεδρον ἐστὶ σχῆμα στερεὸν ὑπὸ ὀκτὼ τριγώνων ἰσοπλεύρων περιεχόμενον. Δωδεκάεδρον δὲ ἐστὶ σχῆμα ὑπὸ ιβ πενταγωνίων ἰσοπλεύρων τε καὶ ἰσογωνίων περιεχόμενον· τὸ δὲ πεντάγωνον ἐξ οὗ γίνεται τὸ * δωδεκάεδρον· ἴσον ἐστὶ τριγώνοις τρισὶ παρὰ δύο πλευρῶν. Κύβος ἐστὶ σχῆμα στερεὸν ὑπὸ ἓξ τετραγώνων ἰσοπλεύρων καὶ ἰσογωνίων περιεχόμενον· καλεῖται δὲ τὸ σχῆμα τοῦτο καὶ ἑξάεδρον. Πρίσματα δὲ ἐστὶ τὰ ἀπὸ βάσεως εὐθυγράμμων σύνθεσιν πρὸς χωρίον εὐθύγραμμον συνάπτοντα· οὔτε δὲ πυραμίδες, οὔτε πρίσματα ἐστὶν τὰ ἀπὸ βάσεως εὐθυγράμμου, κατ' εὐθύγραμμον σύνθεσιν πρὸς εὐθεῖαν συνάπτοντα. Τῶν δὲ πρισμάτων παραλληλόπλευρα καλεῖται· ὅσα ἑξάεδρα ὄντα· τὰ ἀπεναντίον ἐπίπεδα παράλληλα ἔχει. Παράλληλα δὲ ἐπίπεδα ἐστὶν· ὅσα ἐκβαλλόμενα οὐ συμπίπτει ἀλλήλοις· ἢ ἐν οἷς ἴσων καὶ ὁμοίων τριγώνων τινῶν γραφέντων· ἑκάστη πλευρὰ παράλληλος ἐστίν. Κάθετος δ' ἐν στερεῷ λέγεται, ἡ ἀπὸ μετεώ-

ρου σημείου, πρὸς ἐπίπεδον ἠγμένη· ἥ τις πά-
σαις ταῖς ἁπτομέναις αὐτῆς ἐν τῷ ἐπιπέδῳ
πρὸς ὀρθὰς ἐστίν. Τῶν δὲ παραλληλοπλεύ-
ρων πρισμάτων: ἃ μὲν ἐστὶν ὀρθογώνια: ἃ δὲ
οὐκ ὀρθογώνια. ὀρθογώνια μὲν οὖν ἐστὶν, ὅσα ἑ-
κάστην τῶν ὀρθογωνίων ὑπὸ τριῶν γωνιῶν
περιεχομένην ἔχει γραμμήν. οὐκ ὀρθογώ-
νια δὲ τὰ μὴ οὕτως ἔχοντα. Δοκὶς δ' ἐστὶν ὃ τὸ
μῆκος μεῖζον ἔχει τοῦ τε πλάτους καὶ τοῦ πά-
χους: ἐστὶ δ' ὅτε τὸ πλάτος καὶ τὸ πάχος ἴσα:
πάχος δὲ καὶ βάθος καὶ ὕψος τὸ αὐτὸ λέ-
γεται. Πλινθὶς δ' ἐστὶ τὸ ἔχον τὸ μῆκος ἔλατ-
τον τοῦ τε πλάτους, καὶ βάθους: ἐστὶ δ' ὅτε ταῦ-
τα ἀλλήλοις ἴσα. Σφηνίσκος δ' ἐστὶ τὸ ἔχον
ἄνισα ἀλλήλοις, τό τε μῆκος, καὶ τὸ πλάτος,
καὶ τὸ βάθος: τινὲς δὲ καὶ βωμίσκον καλοῦσι
τὸ τοιοῦτον σχῆμα.

Τὰ πάθη τῆς γεωμετρίας.

Ἐφάπτεται δὲ γραμμὴ γραμμῆς, καὶ
ἐπιφανείας, καὶ στερεοῦ, κατὰ στιγμὴν, καὶ
κατὰ γραμμήν: στιγμὴ δὲ στιγμῆς ἀψαμένη
μία γίνεται. γραμμὴ δὲ γραμμῆς ἀψαμέ-
νη: ὅλη ὅλης: ὁμοίως μία γίνεται. Εὐθεῖα δὲ
κύκλου ἐφάπτεσθαι λέγεται ἥτις ἁπτομένη

τοῦ κύκλου, καὶ ἐκβαλλομένη, ἐπὶ μηδέτερα τὰ μέρη τέμνει τὸν κύκλον. Κύκλοι δ' ἐφάπτεσθαι ἀλλήλων λέγονται· οἵτινες ἁπτόμενοι ἀλλήλων, οὐ τέμνουσι ἀλλήλους. Εὐθεῖα δὲ πρὸς ἐπίπεδον ὀρθή ἐστι, ὅταν πρὸς πάσας τὰς ἁπτομένας αὐτῆς ἐν τῷ αὐτῷ ἐπιπέδῳ, ὀρθὰς ποιεῖ τὰς γωνίας. Ἐπίπεδον δὲ πρὸς ἐπίπεδον ὀρθόν ἐστιν· ὅταν αἱ τῇ κοινῇ αὐτῶν τομῇ πρὸς ὀρθὰς ἐν ἑνὶ τῶν ἐπιπέδων ἀγόμεναι εὐθεῖαι· καὶ τῷ λοιπῷ πρὸς ὀρθὰς ὦσιν· ἐπίπεδα δὲ παράλληλα ἐστὶ τὰ ἀσύμπτωτα.

Διάφοροι μὲν καὶ ἐν στερεοῖς, καὶ ἐν ἐπιπέδοις ἤδη δὲ καὶ ἐν γραμμαῖς, ὁμοιότης καὶ ἰσότης· οὕτω γοῦν καὶ ἐν τῷ ἕκτῳ τῶν τοῦ Εὐκλείδου στοιχείων. Δύο δοθέντων εὐθυγράμμων, ᾧ μὲν ὅμοιον, ᾧ δὲ ἴσον συστήσασθαι προσκεῖται· κἀκεῖ μέσον ἀνάλογον εὑρόντες· διὰ ταύτης κατασκευάζομεν τὸ προβληθὲν· ἐπὶ δὲ τῶν στερεῶν διὰ δύο μεσοτήτων. Νυνὶ δὲ καθόλου λέγωμεν περὶ μὲν ἴσων ὅτι ἴσαι γραμμαί εἰσιν, καὶ ἐπιφάνειαι καὶ στερεά· ὅσα ἁρμόττει ὅλα ὅλοις, ἢ κατὰ γένος, ἢ κατὰ σχηματισμόν. Λέγεται δὲ ἴσον, καὶ τὸ ἰσοπερίμετρον τῇ περιοχῇ, καὶ τὸ ἴσον ταῖς γραμμαῖς: ὥστε καὶ τῷ ἐμβαδῷ, καὶ τῷ μόνῳ ἐμβαδῷ: Ισαι δὲ γωνίαι εἰσὶν αἱ ἐφαρμόζουσαι ὅλαι ὅλοις, ἐν τοῖς ἐπιπέδοις, ἢ ἐν τοῖς στερεοῖς, κατὰ τὴν αὐτὴν συναγωγὴν, ἢ κατὰ γένος, ἢ κατὰ σχηματισμόν. Ισοι δὲ κύκλοι εἰσὶν, ὧν αἱ διάμετροι ἴσαι ἀλλήλαις εἰσίν: ἀπὸ γὰρ τῶν αὐτῶν διαμέτρων οὐκ ἔστιν ἕτερον καὶ ἕτερον κύκλον ἐπινοῆσαι. Δοθείσης δὲ τῆς διαμέτρου: δέδοται καὶ ὁ κύκλος τῷ μεγέθει. Ισον δὲ ἀπέχειν τὰς εὐθείας λέγεται τοῦ κέντρου: ὅταν ἀπὸ τοῦ κέντρου, ἐπ' αὐτὰς κάθετοι ἀγόμεναι ἴσαι ὦσιν. Μεῖζον δὲ ἐφ' ἣν ἡ μείζων κάθετος πίπτει. Ισα δὲ καὶ ὅμοια στερεὰ σχήματά ἐστι: τὰ ὑπὸ ἴσων ἐπιπέδων περιεχόμενα, καὶ ὁμοίως κειμένων, ἴσων τὸ πλῆθος καὶ τὸ μέγεθος.

Ομοια ἐστὶ σχήματα εὐθύγραμμα τὰ ἔχοντα κατὰ μίαν τὰς γωνίας ἴσας, καὶ ἄλλως. ὅσα τάς τε γωνίας ἴσας ἔχει κατὰ μίαν: καὶ τὰς περὶ τὰς ἴσας γωνίας πλευρὰς ἀνάλογον. Αντιπεπονθότα δὲ σχήματά ἐστιν, ἐν οἷς ἐν ἑκατέρῳ τῶν σχημάτων ἡγούμενοί τε καὶ ἑπόμενοι λόγοι εἰσίν. Ομοια τμήματα κύκλων

ἐστὶ, τὰ δεχόμενα γωνίας ἴσας. ἢ ἐν οἷς αἱ γω-
νίαι ἴσαι εἰσί. Παραπλησίως γε καὶ τμήμα-
τα σφαιρῶν ὅμοια στερεὰ σχήματά ἐστι, τὰ ὑ-
πὸ ὁμοίων ἐπιπέδων περιεχόμενα καὶ ὁμοίως
κειμένων. Πᾶς δὲ κύκλος παντὶ κύκλῳ ὅ-
